Αἴσχιστον τὸ χρῆμα ἡ λαιμαργία, καὶ πᾶσι, μάλιστα δὲ τοῖς ἀμεταγνώστως φιλοσοφίας καὶ ἤθη ἐπαγγελλομένοις χρηστά. Ἔγωγε μὲν τοι, εἴγε στυγήσας τὸ ἐσχάτως τοῦ Καλλίου τῶν πρόπων, πρὸ τῆς ἀκροατηρίου λυμήνασθαι οὐκ ἔμελλον, πάντως ἂν μεταπεμψαίμην τὴν σοφίαν. ἀλλὰ γὰρ ἡ κακία μετ' ἀνθρώπων μάλιστα διαδέδοται λέγεται. καὶ ταῦτα ὑπεράγαν καὶ ἰσχύος προσηλῶσαι συνεργῷ. ἤδη καὶ πιθανώτερον τὸ κακὸν εἰς ἀπολαύσεις ἡγήσασθαι, διὰ τὸ ζηλοῦσθαι ἀεὶ τὰ τῆς ἐξουσίας παρὰ τῶν ἀπαιδευτέρων. οἷα δὴ τῷ Καλλίᾳ συμβέβηκε. Καὶ γὰρ ἔρῳ καὶ τέρψεσθαι παιδεύεσθαι ἐν πονηρίᾳ, καὶ τέξεως οὐκ ἀπέτυχεν ὑπουργούσης τῆς φύσεως. παιδευθεὶς μὲν αὐτῇ καὶ ἀλλάκοτος ἡ κακία, καὶ Τύδεως ἐκείνης τοῦ σμικροκεφάλου πολυπλοκώτερος. οὐ γὰρ ὅλως δοκεῖ ἀνθρωπίνης μετέχειν φύσεως, ἀλλ' ὑπό τινος ἐριννύος καὶ τοιούτων ταρταρίων δαιμόνων ἀναπεπλᾶσθαι, ἐφ' ᾧ αἴσχει τε καὶ ἀκοσμίας ἀνάπλεων τὴν περίγειον λῆξιν. ταχὺς μὲν ἐστὶν εἰς ὀργὴν ὑπέρ τις ἄλλος, ἀλλ' ἐλάφων δειλότερος. δυσμενὴς, ἀλλὰ καὶ θηλυδρίας. ἄπιστος, ἀλλὰ καὶ ἀλαζών. ἅπαντες ἐστὶ λόγοι, ὅπεστι χυδαῖος τυγχάνει λαλίστερος. ἀνδρείας μὲν ἀμοιρεῖ τῆς κατὰ τὸ σῶμα, σφριγᾷ δὲ πρὸς τὰς ἡδονὰς, καὶ πέρας ἐστὶν ἀκολασίας.

λασίας. ἀπειθὴς τῇ πόλει. τοῖς νόμοις ἀκάθεκτος. τοῖς φίλοις ἄπιστος. πρὸς μὲν τοὺς δεσπότας, ὑβριστής. τοῖς δ' ἀλλοτρίοις, ἐπίβουλος. οὐχ ἧττον ἄχθεται τοῖς τῶν ἄλλων ἀγαθοῖς, ἢ τοῖς ἰδίοις λυπηροῖς. σεμνύνεται μὲν πλεονεκτῶν. τὸ δ' ἐξαπατῆσαί τινα, σοφίαν οἴεται. τοῖς μὲν μέγα δυναμένοις, Ἶρος ἀντιχειμία. τοῖς δὲ ὑποδεεστέροις, ὠμότερος καθίσταται Κύκλωπος. ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθόν, ὅτι οὐδ' αὐτῷ συνίδηται. ὁ γὰρ ἔχει φύσιν χαλεπωτέραν τοῖς ἅπασιν ἐναντίοις ἐμπεπλησμένος κακίαις οὐδ' ἑτέροις. ὥσπερ οὐδὲ ναῦς ἐν μεταρσίῳ πελάγει τρικυμίαις παλαίουσα. Ἀλλὰ ταῦτά σοι μικρὰ τῶν μεγάλων ἔστω τῆς ἀρετῆς τοῦ Καλλίου γνωρίσματα. ὧνπερ αὐτὸς ὁμιλήσας, οἶδα ὅτι θᾶττον ἢ Καλλίου φειδοῖ, ἢ λόγων ἀπορίαν, ὑμῶν ἐξελάσεις:

Ἀπάντησις πρὸς τὸν Ψελλίζοντα.

Εἰ δὲ πρὸς ὑμᾶς ὁ ψόγος, ἀντὶ μὲν ὕλης ὑπουργήσει τὰ γεγραμμένα. ἐπειδὴ ὅμως δὲ πρὸς αὐτὰ ἀντεγράφομεν, τὰ μὲν παρ' ἡμῶν αὐτῶν δηλοῦντες, ὡς οὐδὲ κοινὸν πεπόνθαμεν ἐπὶ τοῖς εἰρημένοις. καὶ τοσοῦτον ἀπολείπουσι διαφορῆσαι ἡμᾶς, ὡς οὐδὲ λόγου ἂν ἠξιώσαμεν, εἰ μὴ τὰ δεύτερα τῆς κακίας τῶν ἀρετῶν ἐνδεικνύειν ἠγωνίσθημεν. καὶ ὅτι φθάσασα ἡ πεῖρα καὶ φήμη, τὰ ἡμέτερα παρὰ πᾶσιν ἐμπέδωσε. καὶ τῶν ἀκαίρου λήρων, κἂν διαρραγείη, κἂν ὅ,τι πάθοι, τυγχάνουσι κρείττονα. Τὰ δ' ἀπὸ τοῦ τῆς χάριτος σωτηρίας, ὅτι μᾶλλον ἐπῄνεσεν, ἢ διέβαλεν. ὁ γὰρ παρὰ τῶν μοχθηρῶν ψόγος, τῆς πρὸς ἐκείνους ἀλλοτριότητος ἔλεγχος. τοῦτο δὲ καλοκαγαθίας τεκμήριον. καὶ ἅμα τινὰ τῶν ἐκείνῳ προσόντων, ἢ νομιζομένων ὑποίσομεν. Εἶτα ὅτι καὶ μετὰ πολλῶν τοῦτο πάσχομεν, πάντας γὰρ ἑαυτὸς κακῶς ἀγορεύει. ἢ ὅτι ὑπὲρ φύσιν εἰς κατηγορίαν ἐκ φύσεως. ἢ ὅτι καλῶς λέγειν οὔπω μεμάθηκεν. ἢ ὅτι ἀφ' ἑαυτοῦ τὰ τῶν ἄλλων κρίνει, καὶ τοῖς

ἄλλοις

ἄλλοις τὰ ἴδια ἀφελόμενον· ἢ ὅτι φθόνῳ ἢ μίσει τῷ πρὸς ἡμᾶς διαλαλεῖν ἐπιχειρεῖς. Τελευταῖον δὲ καὶ ὑπὸ τῶν σεσημασμένων διακωλύεις. οὐκ ἀπόχρη ἡμῖν ὅσα ἐκεῖνος ἔβαλε, καὶ διαταράττει τὴν ἡμετέραν καὶ τῶν ἑταίρων πρᾶξιν ἐπισπώμενος. Βούλει δ' οὖν λέγω ἀποστρέψωμεν καὶ τοὺς αὖθις ἀδιακρίτους διακληρῶν, ὡς μὴ κάλλιον χρόνους τῆς εἰκαίας φύσεως. ἢ καὶ ἐπιλύοντες καταδεξόμεθα, εἰ δυνατὸν ἀποσεῖσαί ποτε τῆς τοιαύτης φρενοβλαβείας:

Ἀντίθεσις:

Οὐδὲν προτιμῶ σου ἡ κωμῳδία φησί, φοροῦ γὰρ προσάμενος φαρμακίτην δακτύλιον. ἐγὼ δέ σου τοιαῦτα φροντίζω καὶ σιγῶντος καὶ λέγοντος, ὅσα καὶ μηδ' εἰ ὅλως ζῶσι γενομένου. ὠφελιμωτέρα γὰρ τῶν σῶν λόγων ἐστὶν ἡ ἀλήθεια. καὶ οὐδ' ἂν μου τὸ κωθώνιον ἐμπλάσαι δέοντα ἀξίοιο, κἂν μάλιστα ὡς κηρυχθεὶς φασὶ τοῖς ἡμῶν ἐλέγχοις. ἀλλὰ ἀποτρέψεις μὴ σεαυτὸν καὶ ἀνιάσεις οὐδὲ ἄλλον. πιαίνει γὰρ ὁ φθόνος. ἐμοὶ δὲ παμφαρμάκοις ὑποφανείς, ἀπόθετον σοῦ τι καὶ τῶν σῶν ῥημάτων εἰς χρόνους φυλάσσω. ὡς γὰρ ἤχθετο τοῖς Ἀνύτου ζηλοῖ τὰ Σωκράτους. ὡς οὐδὲ φασὶ καὶ πλείω κατεφλυάρησας, ἢ που σε κἂν μᾶλλον ἂν ἐβδελύττου ἐγίνωσκον

Ἄλλος

Οὐ τοῦτ' ἐστὶν εὐεργεσία γλώττης ὦ λῷστε Σωσία, λοιδορίας ὅτι πλείστας συμφορήσαντα κατασχεδιάζειν ὅτου τις ἂν τύχοι καὶ βούλοιτο. οὕτω τοῖς ἀμείνοσιν ἀναιδῶς ἐπιτίθεσθαι, ἐπίσημον ἀπεργάζεται. σὺ δ' ἀλλ' ὡς θεοῦ τῷ φθόνῳ τὰς τῶν κρειττόνων βλασφημίας ὑποθῶσαι βεβλῆσθαι, ὡς ἂν διὰ τούτου εἶναί τι καὶ δόξης, τῷ δοκεῖν ἐνδοξοτέροις προσβάλλεσθαι. καίτοι ὑπὸ εὐηθείας λέγειν μηδὲν ὑγιές. πάντα δὲ κενὰ καὶ μεγάλοις χρήματα. καὶ τοῦτο δὴ τὸ τῆς παροιμίας, κλώθειν σχοινία τὰ ἀπὸ γλώσσα-

τίνα γὰρ καὶ φύσιν ἔχει, τὸ αὐτὸν ἅμα δειλὸν καὶ ὀργίλον εἶναι, ὀργίζεσθαί τε καὶ πτώσσειν; καὶ ἅμα μὲν ἀνάπτειν, ἀπο-γνῶναι δὲ πρὸς τοὺς [illegible]; ὅτι ὁ θατέρου θέσις, πάντως ἐστὶ τοῦ ἑτέρου ἀπόφασις. ὃν γὰρ δειλὸν φαίης, οὐκ αὐτὸν καὶ ὀργίλον εἶναι φήσεις. καὶ ὃν ἂν ὀργίλον, ὁμοίως δειλὸν ἀποφήσεις. καὶ οὕτω τῇ ἑκατέρου θέσει, ἀναιρεῖται δηλονότι ἀμφότερα. ἔστι γυναιξὶν ἐπιτήδειος οὗτος, τὸ οὐδὲ μίαν ἀξιώσαντα ἔχειν γυναῖκα; καὶ φίλοις ἀπεχθάνεσθαι [illegible] τὸ πάλαι σου, πρὸς ἅπαντας ἡρμοσμένον φιλίᾳ. καὶ τοῖς νέοις [illegible] λέγειν [illegible] δὲ καὶ [illegible] σου λοιδορούμενος, μηδ' [illegible] ἠξίωσεν, ὅτι μὴ [illegible]. συγχωρήσεις μοί τι, οὐδ' ὡς [illegible]. ὁ γὰρ ὄντως [illegible] δύσερως(?) ὁ [illegible] φησίν· εἶναι δεῖ πρῶτον ἐν λόγοις [illegible], Σοφίᾳ [illegible] ὄντα δοκεῖν. [illegible] τοὺς [illegible], ὡς ἂν μὴ [illegible]. ἂν γὰρ τοιοῦτος ᾖς, [illegible], ἀλλὰ [illegible] μὴ τελέως [illegible], [illegible] γὰρ τὸ κατηγορεῖν. μᾶλλον δ' οὐδὲ [illegible], ἀλλ' ὧν ἡ φύσις [illegible] κατ' Αἰγυπτίους εἰπεῖν. σὺ δ' ἄλλα [illegible] ἐμοί, μᾶλλον δὲ τὴν [illegible] λάθρα [illegible]. ἄξια γὰρ λάθρα τὰ σά. εἰ δὲ βούλει, οἶδα δὲ ὅτι βουλήσει, τὸ οἰκεῖον τῇ φύσει σου χαριζόμενος, μὴ [illegible] [illegible]. οὕτω γὰρ οὐχ' ἡμᾶς βλάψεις, καὶ τὴν σαυτοῦ ἀρετὴν ἀριδηλοτέραν καταστήσεις:

Περὶ Τωθαστικοῦ καὶ Εἰρωνικοῦ.

Ὁ τωθαστικὸς καὶ εἰρωνικὸς χαρακτήρ, οὐκ εἰσὶν ἀεὶ οἱ αὐτοί, ἀλλὰ διαφέρουσι κατὰ τὸ τέλος διάφορον. ποτὲ μὲν γὰρ παιδείας ἕνεκεν τωθασμοῖς τε καὶ εἰρωνείαις χρώμεθα, ὅτε καὶ φιλικὸς λέγοιτ' ἂν ὁ χαρακτήρ. ἐνίοτε δὲ καὶ σκωμμάτων καὶ ψόγου. διὸ καὶ εἰκότως εἰς τὸ ψεκτικὸν ἄν τις ἀναγάγοι. δεῖται δὲ συνέσεως καὶ [illegible] ὁ τύπος.

ὁ πόνος. ὅτι μὲν φιλικὸς, ἴσθι μὴ τις τὸ χαμαίζηλον τῆς βωμολοχίας ἐπιλήψεται. ἐθέλω δ' αὐτὸ εἶναι [illegible], ὡς ἂν μὴ τὸ ἀεὶ ἐν τοῖς σκώμμασι κλέπτειν ἀπηρξάμεθα ἐξελέγχηται. Ἡ δὲ μάθησις ἔσται κατὰ ταύτην τὴν ψαλίδα πόνου:

Ὑπόδειγμα.

Οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθον ὁ παροιμία φησί. πολλῷ δὲ μᾶλλον ἐς Ἑλικῶνα ἀνελθεῖν φαίης ἂν καὶ αὐτός. οὐ γὰρ ἡ ὁδὸς κατὰ τὴν [illegible] μακρά τε καὶ ὄρθιος, ἱδρῶτά τε οὐκ ὀλίγον ἔχουσα τοῖς ἀναβαίνουσι. διὸ οὐδὲ θαυμαστὸν εἰ καὶ ἀμουσότεροι γεγράφαμεν ἐνυπάρχειν, εἰ μή που ταῖς Μούσαις ἐγγίζοντες, τοῦτο που ἀεὶ τὴν ἀναφορὰν ἔτι πειρώμεθα. καὶ ταῦτα μάλιστα σοὶ τῷ χαριεστάτῳ τῶν ἀκουόντων. ὃς ἤδη πρὸ πολλοῦ κατέλαβες τὴν τοῦ Ἑλικῶνος ἀκρόπολιν. ὁ χρόνου μακροῦ ἀνιαθείς, οὐ πονῶν καὶ ἀσθμαίνων ὡς οἱ πολλοί. ἀλλ' ἀγαθῇ τινὶ καὶ γενναίᾳ τῇ ὄντι κεχρημένος ὑποδήματι. καὶ σὺ αἱ Μοῦσαι, οὐχ ὡς τρόφιμον αὐτῶν μόνον, ἀλλὰ καὶ ὡς σύμβουλον ἤδη ὑπειλήφασι. καὶ ὅ, τι ἂν εἴποις, εὖ οἶδα, πάντως ἐπαινοῦσι καὶ χαίρουσι. ὁ δ' Ἀπόλλων ἀπεφήνατο οὗτοι χάριν, ὃ καὶ ἡμᾶς αὐταῖς σύστησον, αἰμύλῃ καὶ χαρίεντι τῷ νῦν λόγῳ πρὸς αὐτὰς χειραγωγούμενος. ὁ αὐτὸς ὡς ἡμᾶς ἐλθεῖν καταξίωσον. πάντως γάρ σοι καὶ Μοῦσαι καὶ μάλα πεισθήσονται:

Ἀπάντησις πρὸς τὸν Εἰρωνικὸν χαρακτῆρα.

Ἀντιτατέον δὲ τοῖς εἰρωνευομένοις. τοῖς μὲν τέλος ποιουμένοις τὸν ψόγον, κατὰ ταύτην τὴν ψαλίδα· τοῖς δὲ παιδιᾶς χάριν κωμῳδοῦσιν, ἀντικωμῳδήσομεν καὶ αὐτοί. τοὺς μὲν εἰρωνευομένους, τοὺς δ' ἐξαίροντες τοὺς [illegible] καὶ ὅσα περὶ ἡμῶν εἰρήκασιν, ἐκβάλλοις αὐτοὺς ὅπως ἐλέγχηται [illegible] ποιοῦντες:

Πα-

Παράδειγμα.

Ἤδειν καὶ πάλαι σε σοφιστήν, καὶ τὴν γλῶτταν κατηρτυμένην νικῶσαν τοῖς σχήμασιν, ὅτι δὲ καὶ ποιητὴν δεινόν, νῦν ἐπ' ἐμοὶ πεῖραν μεμάθηκα. καὶ ἔοικεν ὁ ἐν λόγοις τερθρεία, μουσείᾳ μετ' ἴσα, τῷ αἱμύλῳ φθέγγειν τὸ δοκεῖν ὑπ' αὐτῆς τὴν ἀλήθειαν κλέπτεσθαι. ὑποβαλοῦσα δέ, λανθάνειν μὴ δυνάσθαι· ἀλλ' ἀτεχνῶς μεταφέρειν εἰς σκώμματα τὰ τῆς ἀσυμπαθείας ὑπόχειρι. δι' ἣν ὡς ἀλόγου προφάσεως τῆς ἀμούσου φωνῆς δραξάμενος, τοσαῦτα ἐμοῦ καταπέπηχας. Ἀλλ' ἐν τούτοις αἱ τηλικαῦται σπουδαὶ καὶ μέμψεις, οὔτε λύσεις περὶ σκώμματα. ἐγὼ γὰρ ἐπιθυμῶν σου, ὅπως ἀκρίβειαν ἐκδέχοιο τὴν φωνήν. σὺ δέ με διὰ τῶν χρωμάτων ἀμουσίαν διαμέμφεσθαι ὑποτέτακας. κἀγὼ μὲν λύσιν ᾔτουν τῆς ἀπορίας, σὺ δὲ σκώπτειν ἐπιχειρεῖς γελοιότατον ἀπατῶν τοῖς παιδεύμασι. καὶ σὺ Μούσαις συνεῖναι ἀλαζονεύῃς, ὃς αὐτὸ πυθέσθαι τῆς Μούσης τέλεον. καὶ μάλα ἐμοὶ φῂς ἐπειδὴ, εἰς αὐτῆς ἀεὶ ἐντρυφᾷς. καί μοι δοκεῖς τὸ σὸν ἐξαγγεῖλαι βουλόμενος, εἶτα αἰδούμενος, προσποιεῖσθαι τὴν ἐμὴν ἐπιστήμην ἐκκαλύψαι. Ἀλλὰ χαῖρε καὶ σοῦ εἴτε σπουδαῖς, εἴτ' οὖν ἐπαινεῖς, δίδου ἡμῖν ἐντρυφᾷν:

Τοῦ Συμβουλευτικοῦ γένους Προτρεπτικὸς ἢ Συμβουλευτικὸς χαρακτήρ:

Ἐπειδὴ χρὴ τὸν φιλόσοφον, ἢ προτρέπειν ἢ παρακαλεῖν ἐστὶν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον ὅτι προτρεπτικὸς χαρακτήρ, ὁ ἐπ' αὐτὰ ταῦτα παρακαλῶν. Ὅθεν καὶ ὕλη τούτου πράξεις εἰσὶ, καὶ λόγοι, καὶ προαιρέσεις. οὐχ ἁπλῶς μέντοι, ἀλλ' ἢ ὄντα ἢ δοκοῦντα, δίκαια, νόμιμα, συμφέροντα, ἔνδοξα, καὶ καλά, ἡδέα, ῥᾴδια πραχθῆναι. ἐνίοτε δὲ καὶ τὰ ὁμολογουμένως δυσχερῆ, δυνατὰ δὲ καὶ ἀναγκαῖα.

Πρὸ

Πρὸ πάντων δὲ ὁ προτρέπων, διὰ ταυτὶ κεχρῆσθαι χρεῖαν, οἷον ἵλεως πειθανὸς ἐστὶ μέλλει· τό, τε δοκεῖν ἐοικέναι εἶναι πρὸς ὃν ὁ προτρέπει, καὶ περὶ ἃ συμβουλεύει, ἐμπειρεῖ. ἀτελὲς γὰρ εἰς πειθὼ θάτερον παρὰ θάτερον. ἡ μὲν οὖν ἐμπειρία σοφίᾳ τε συμπεριγράφεται καὶ ἡλικίᾳ, μάλιστα δ' ἀνάπτει τῇ περὶ ὧν ἡ σκέψις. ὅτου χάριν καὶ Σωκράτης σύμβουλον αἱρεῖσθαι διδάσκει ἐν ἑκάστῃ ἀρίστων τὸν τεχνικώτατον: Εἰ δ' ὁ παρακαλῶν ἀμοιρεῖ τῶν εἰρημένων, ὀρρωδεῖ δὲ μὴ τὴν παράκλησιν ἀποχρήσῃ ὁ προτρεπόμενος, ἐπὶ τῇ εὐνοίᾳ τὸ πᾶν θαρρεῖν τίθεσθαι. ἣν καὶ μὴ προσόντος ἐπιδείκνυσθαι παρ' αὐτὴν προοίμιον παρεισδύσιν, εἰς ἔρωτα τὸν πρὸς ἑαυτὸν τῆς αἰτίας ἀνάγων. καὶ ὡς ἀκριβέστατα λέγων καὶ φιλοσοφίᾳ εἰς τὸ γράφειν ἐπάγεται, τό, τε τὰ ἀκαίρου περὶ πολλοῦ ποιεῖσθαι, οὐκ ἐφ' ἑτέρων ἐν τοσαύτῃ τῶν πραγμάτων ἢ κινδύνων ἀκμῇ. ἐξεργασιῶν τε ἀναμιμνήσκει τῶν πρὸς ἀλλήλους· ἢ τῶν ἀνέκαθεν καὶ ἀπὸ τῶν προγόνων, ἢ λόγων, ἢ ὁμιλίας, καὶ τῶν ὁμοίων. Εἶτα ἐπάξει κεφαλαιωδῶς διηγούμενος ἐφ' ἃ καὶ προτρέπων ἥγηται, δικαίων ἑκάστων, δίκαιον, νόμιμον, συμφέρον, καὶ τὰ ἑξῆς, ὡς ἀνωτέρω δεδήλωται. ἢ ἀπὸ τοῦ πράγματος, ἐφ' ὃ ἡ προτροπή. ἢ ἀπὸ τοῦ προσώπου. ἢ ἀπὸ τοῦ μέλλοντος, ὅτι ἀπὸ ἐλπίδος γνώμης, φίλων, ἢ τοῦ ἐναντίου καὶ τῶν ἄλλων παραπλησίων. Ταῦτα καὶ ἐμπλεκόμεθα ἐκ τοῦ ὁμοίου, καὶ ἐναντίου, ἐκ παραδείγματος, ἐκ τοῦ κεκριμένου, καὶ ἐνδόξων, ἢ τοῖς πᾶσιν, ἢ τοῖς ἐνδοξοτέροις: οὐχ ἥκιστα δ' εἰς χρώμεθα.

Παραδείγματος χάριν.

Ἐπὶ μὲν τοῦ δικαίου ἐροῦμεν· ὡς ἐκ τοῦ ὁμοίου. Καθάπερ δίκαιον ἡγούμεθα μὴ βλάπτεσθαι παρὰ τῶν μηδὲν ὑφ' ἡμῶν λυπηθέντων, οὕτω καὶ εὐεργετεῖσθαι παρὰ τῶν

τῶν οὐ πεπαιδευμένων. ἔτι δὲ καὶ ἐκ τοῦ ἐναντίου τῆς ἀσφαλείας: εἰ καὶ οὕτως. Ὥσπερ τοὺς λυπήσαντας δίκαιον ἀντιλυπεῖν, οὕτω καὶ τοὺς εὐεργετήσαντας ἀντευεργετεῖν: ταῦτα καὶ ἐκ τοῦ [illegible]. Τοῦτο καὶ ξύμπαν ἡμῖν τὸ ἀνθρώπινον διακρατοῦσι [?] φαίνεται: ἐκ παραδείγματος: Μάλιστα δὲ ἡ πόλις τῶν Ἀθηναίων, εἰς Ξέρξην καὶ τὸν Φαληρέα Δημήτριον εἴργασται. ὧν τὸν μὲν λυπήσαντα, ὑπεχθέντες ἠμύναντο· τὸν δὲ εὐεργετήσαντα, μεγάλως τετιμήκασιν:

Ἐπὶ δὲ τοῦ νομίμου. ἐκ μὲν τοῦ ὁμοίου οὕτως. Ὥσπερ γὰρ ὁ νόμος τοὺς ἀδικοῦντας κολάζεται, οὕτω καὶ τοὺς [illegible]. καὶ γὰρ οὗτοι, τό γε καθ' ἑαυτούς, τοὺς [illegible] προδεδώκασι: καὶ ἐκ τοῦ ἐναντίου. Εἰ γὰρ λαμπρὰ τοῖς ἀριστεύσασιν ἆθλα προτίθεται, πάντως τοῖς διὰ δειλίαν τὴν τάξιν προλιποῦσι, δεινὰ τὰ ἐπιτίμια: ἐκ τῶν [illegible]. Τοῦτο καὶ Σόλων καὶ Λυκοῦργος ἐνόμισεν: οὕτω ἐκ παραδείγματος. Διὰ τοῦτο καὶ Ὀθρυάδης αὐτοχειρίᾳ διέφθειρε [?], μὴ καὶ θανόντας δίκῃ καταλιπὼν τοὺς ἑτέρους:

Ἐπὶ δὲ τοῦ συμφέροντος, περὶ οὗ πᾶς ὁ λόγος τῷ συμβουλεύοντι. ἐκ μὲν τοῦ ὁμοίου, οὕτως. Τῶν μὲν βρωμάτων τὰ ὑγιεινά, οὐ τὰ ἡδέα λυσιτελεῖ. ὡσαύτως καὶ τῶν φίλων, οἱ ἐπιτιμῶντες, οὐχ οἱ κολακεύοντες χρήσιμοι: ἐκ δὲ τοῦ ἐναντίου, οὕτως. Εἰ γὰρ τοὺς ἀληθεύοντας φιλοῦμεν [?] δὲ καὶ προσιέμεθα, πῶς οὐ μακρὰν ἀφ' ἡμῶν τοὺς ἐξαπατῶντας ἀποπεμψόμεθα κόλακας; ἐκ τοῦ [illegible]. Οὐ τοῦτο πάντες ἀγορεύουσιν Ἑλλήνων νόμοι τοὺς ψευδομένους κολάζοντες: ἐκ παραδείγματος. Πειθέτω σε ταῦτα [illegible], ὃ τὸ δόξαν φορτικὸν τῆς Ἀγαθοκλέους φιλίας, μακρὸν δὲ τῶν κολάκων [illegible], ἔγνω [illegible] τῇ πείρᾳ λυσιτελέστερον: Λήψῃ δὲ τὸ συμφέρον, ἀπὸ τοῦ μέλλοντος, καὶ προσδοκίας, εἰ γνώμης τῶν φίλων, εἰ τοῦ ἐναντίου. εἰ φαίνοιο τοιαῦτα περὶ τὰ ἐκείνου ἀρετῆς τῶν φίλων [illegible]. ἢ τῶν ἐχθρῶν ἐπ' [illegible]. οὕτω δὲ καὶ

ἀπὸ

ἀντὶ τῶν ἄλλων τηλικούτων, δικαίων, ὡς ἐντεῦθεν βεβαίαν ἕξει ὁ προγεγραμμένος, ἢ δόξης ἐλπίδα, ἢ τιμῆς, ἢ χρημάτων, ἢ τέρψεως; Καὶ ἐκ τῶν ἐναντίων· ὡς εἰ τἀναντία πράξαντες, ἀποστεροῦνται ὡς κάλλιστοι δόξης, χρημάτων, τέρψεως, καὶ τῶν ὁμοίων. τοῖς δὲ φίλοις καὶ τοῖς πρὸς αἵματος, ὅσοις ἐν τῷ τυχὸν περιτρίψεται· εἰδὼς τινα καὶ ἀντιπάσχειν δικαιοῦντα, ἐπαναγαγόντες ἀνασκευάσομεν; Πόθεν δὲ, ἢ ἀνάμνησις ὅσων τῶν εἰρημένων ἀγαθῶν, ἢ τῶν βλαβερῶν σπουδαίως; καὶ μάλιστα περιμανίας. Ἡ γοῦν ἐκλιπαρήσωμεν πρὸς ἀρετῆς ἐκείνου, ἢ ἐπαγγέλματος. ἢ πρὸς σώφρονα, εἰ ἀρχὴν τυγχάνει· πρὸς νόμων καὶ θέμιδος, εἰ τὶς τῶν δικαζόντων εἴη. ἢ πρὸς Μουσῶν, πρὸς Ἑρμοῦ καὶ Ἀπόλλωνος, ἢ Σοφίας αὐτῆς, εἴπερ τὶς εἴη τῶν λόγων ἀντιποιουμένων;

Ὑπόδειγμα.

Τῶν κοινῶν ὅτι μοι μάλλον, συγγενῶν οὐκ ἔχω. σὺ δ' ὅτι φιλῶ, καὶ πάνυ θαρρῶν ἔχω· καί μου τὴν παρρησίαν δέξαι. Ὁ ἱερώτατος πατὴρ Ἀνθίμος συχνὸς ἐξότου χρόνος νόσῳ χαλεπῇ περιπαλαίων, ὅλος τοῦ ἀμείνονος ἐγένετο λέξεως. ὁ δὲ ἐκείνου θρόνος εἰ καὶ τοῖς ἄλλοις κοσμεῖται, ὅσοις τῷ θρόνῳ καθήκουσι, χηρεύει μέντοι τοῦ ἱεράρχου. οὐχ ὅτι μὴ πολλοὺς ἔχει τοὺς ἀντιποιουμένους· ἀλλ' ὅτι ζητεῖ τὸν προσήκοντα. καί μοι δοκεῖ τὸ νῦν ἐκεῖνον αὐτόματον ἥκειν τὸν καιρὸν, ὃν πολλάκις ἀποδυρόμενοι τῆς τοῦ γένους ἐνδείας, ἐπεθυμοῦμέν τι, καὶ τῇ διανοίᾳ συνεπλαττόμεθα. εἰ σύ γε βελτιώσεις τὸ ἀρχῆς ταύτης μεταποιούμενος. Τί δὲ μέλλεις; σύ τε καὶ τῇ σῇ ἀγχινοίᾳ προσκολλήσαιτο; πάντα μὲν λόγον ἔχει. οἱ πολῖται, τὸ σὸν φωνῆς ἐπερχομένης ἅπαντες. τὸ λειτούργημα καὶ παρ' ἑαυτοῦ, καὶ τὴν τέλει τῆς ἐνεργείας, ὠφελεῖν τε καὶ θεῖον, καὶ τοῖς ἐνδιαιτωμένοις αὐτοῖς περιποιῆσαι. τὰ δὲ πράγματα, μονονουχὶ τὰς χεῖρας ὀρέγοντα

εἰς τῶν ἑαυτῶν ἐν ἀφθαρσίᾳ εἶναι ἀντίληψιν· ἀλλὰ μάλιστα ἀνακαλούμενον. καὶ δῆλος μὲν καὶ γέλωτα τοῖς πολλοῖς ὀφλισκάνοντες, ἀπαλλαγῶμεν. ἐπεὶ γὰρ ὥσπερ περιουσίαν δεῖ μὴ περισσὴν περιττῆς, οὕτω καὶ τῆς ἀρετῆς ἀντιπαράγγελμα παρέχειν ἀποτυπώσεως ἕνεκεν. καὶ τὸ μὲν, ἄγαν σχολαστικόν, τὸ δὲ, τῆς λίαν δειλίας. καὶ ἀμφότερα καταγινωσκόμενα. Ἄλλος τις, καὶ εἰ ταύτης μαλακώτερος, τοῖς τε πράγμασι σωτηρίαν, σωτηρίαν τε πρὸς τὴν ἑαυτοῦ, τούς τε φίλους οὐ παύων περιστερεῖ, καὶ παρ' ἐχθρῶν μὴ βλάπτεσθαι. ὡς γίνεται χάλαζα ἢ λίθος· κωλύει μὲν ἐν τῇ ἐν πολλῇ τοῦ καλύπτοντος ἐρημίᾳ διακωλύει συλλέγεσθαι ἰδίως. παρεσκευασμένος δὲ, τὰ μὲν φρονεῖν πάντα. σεαυτὸν δὲ, ἵνα μὴ τἄλλα λέγω, τοῖς ἐκεῖ ἐν κριτηρίοις, ἐνθάδε δὲ μὴ καὶ κολαστηρίοις καθυποβαλεῖς. ὁμοίως γὰρ ὑπεύθυνον καὶ τὸ εἰσαχθῆναι εἰδότα. τὸ σκάφος ἐν δίνῃ τοῦ εἰσελθόντος περιβαλλόμενον, μὴ ἀντιλαμβάνεσθαι. καὶ τὸ Χριστοῦ ποίμνιον εἰκῇ τε φερόμενον καὶ χειμαζόμενον ἐν ἐρημίᾳ ποιμένος θηρσὶ καταλελειμμένον, δυνάμενον, μὴ περιποιήσασθαι. εἰ γὰρ τὸν βουληθέντα μὲν οὐ ποιῆσαι, πῶς μὴ δυνηθέντα, ὡς πεποιηκότι ὑπόκειται ἡ ἀντιμισθία τοῦ περιφρονήσαντος. τί χρὴ φράζειν τὸν μηδὲ βουληθέντα, καὶ ταῦτα δυνάμενον; ὅπου παρὰ τὰ ἐπιτίμια, καὶ ἴσα τοῖς δι' ἀπονοίας ἐξολοθρεύουσιν ὀφείλεται. ἐπεὶ γὰρ ἐκ τῶν λογίων φησὶν ὁ Θεός· Καθὼς ἀπέσταλκέ με ὁ πατὴρ εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀποστέλλω ὑμᾶς, τὸν πατέρα ὑμῶν εἰς βασιλέα. ὁ γὰρ δὴ ἐκεῖνο φαίης ἄν, ὡς τὸν ζηλοῦντα οὐδὲν τοὺς πάλαι μακαρίους ἄνδρας ἐκ ἀνθεκτέον ἀρχῆς. τί γὰρ ὦ μακάριε σὺ, ὅτι τὸ Χριστοῦ γεώργιον χρῄζον βοηθείας ἐκείνοις παρεῖδον, ἢ ἀπαιτήσαντι δὲ εἰς ὁ πᾶς βίος ὑπὲρ ἐκείνων ἀγὼν ὡς διετέλεσαν; ἀλλ' ἡ τῆς ἀρχῆς ἀποχώρησις, τοῖς κρείττοσιν ἂν παραχώρησις. νυνὶ δ' ἔτι πάντες εἰς τὸ κεχήνασι. καὶ ὡς ἀληθῶς σου τῆς φυγῆς τὸ ἄρχειν ἐπιτίμιος ἐσόμενος.

μιλος

μῖλος κἂν αὐτοῖς ἀπαιτεῖ, εἰ καὶ λίαν ἐπιεικὴς εἶ, καὶ αἰδοῖος τῷ λανθάνειν. Ἀλλὰ βούλη σοι οὕτω παρρησίας οὐχ ἧττον φιλότιμον, ἢ ἀληθῶς; ἀρχὴ μὴ τὴν ὑστέραν ἀφεὶς τὴν προτέραν διώκειν, εἰς μὲν σαυτὸν καὶ τοὺς ἄλλους τοὺς σοὺς ὑπερμαχῶν, δι' ὧν δὲ καὶ σαυτὸν προσπαταλίσεις ἀφεὶξ ἀντεχόμενος:

Ἄλλος

Τῶν ἐπιτηδευμάτων μὲν καὶ ἄλλως ὁ πρὸς ἀρετὴν τῆς εἶναι παράκλησις. καὶ ταῦτα πρὸς εὖ πεφυκότων γενομένη, καὶ πιστὸς ἐπαινοῦ κέρδους ἐλπίδος ἀπηλλαγμένη. ἐμοὶ δὲ καὶ ἀναγκαῖον ἐν τοῖς μάλιστα ὁ πρὸς τὴν παιδείαν. οὐχ ὅπως διὰ τὸ ἐπάγγελμα, ἀλλὰ δὴ καὶ τὸ ἐπ' ἐμοὶ τῆς τῆς πλείστης ἐλπίδος. Ἔγωγε οὖν καὶ τοῖς περὶ τὴν τύχην ἀδικοῦσι τι περὶ πολλοῦ ποιοῦμαι. καὶ τῶν ὅσα ἀξιάγαστα τῶν ἐν ἀνθρώποις ἀνιστορεῖν. ἀλλὰ τοῦτον ὑπολάβοιτ', ὅσον ἀφοσιώσασθαι τοῦ κατὰ σώματος βίου. καὶ σοι μὲν ἐπιτελὴς ὁ λόγος δὲ τῶν ἄλλων εἰς ἀνάκλησιν ἥκει. ὅλη δὲ ψυχῇ ἀνθεκτέον παιδείας. ἥπερ ἡμῖν σοφίας τε οὖν πορίζειν καὶ δύνασιν. δι' ὧν τά τ' ἐκτὸς ἀγαθὰ συντηρεῖται, καὶ τὰ ἤθη κοσμεῖται, καὶ ἡ ψυχὴ τελεωτέρα καθίσταται. οὐ γὰρ ἐστὶν ἀντίβασις τῶν περὶ τὴν τύχην ἡ παιδεία, ὡς ἔνιοι κακῶς νοοῦντες ὑπέθεντο. ἀλλ' ἐς αὐτὰ ταῦτα μᾶλλον ἐστὶν ἐπανάβασις. αὕτη γὰρ τῆς τῶν φαύλων ἡμᾶς συνηθείας ἀπαλλάττει. τὰς ἐν ἀγορᾷ φέρεται διατριβάς. τοὺς τριβώνους διαβάλλει. τὸν λογισμὸν οὐκ ἀφίησιν εἰς ἀλλοκότους ἐννοίας παρεκτραπῆναι. καὶ τὸν ἄνθρωπον τὸν αὐτὸ ἄνθρωπον ἀπεργάζεται, ἵνα μὴ θεὸν αὐτῷ καὶ ἡγεμόνα τῶν ἄλλων. τοῖς μὲν πολίταις ζηλωτὸν. τοῖς δὲ φίλοις ἐράσμιον. τοῖς ἐχθροῖς χρήσιμον. τοῖς ἀλλοτρίοις ἀπόβλεπτον. ἐν μὲν ταῖς εὐπραγίαις θαρραλέον. καὶ ἀκαταπόνητον. αὕτη μόνη καὶ ζῶντι καὶ τελευτήσαντι παραμένει τῷ κεκτημένῳ, πάντων τῶν ἐν ἀν-

θρόνοις ἐμβαπτιζόμενον τι καὶ διαφέροντα, ὡς καὶ ὁ καθ' ἡμέραν πόλεμος, ἐναργῶς ἐκδιδάσκει. καὶ τί δεῖ μακρολογοῦντα ἐνοχλεῖν; τίνος ἂν ἄλλου ἐν ἀρίστῃ γένοιτ' ἄνθρωπος, ὃς παρὰ πᾶσι μὲν οὐκ ἐπίδοξος, ὁ δ' ἀναλογῶν τὸν βίον διάγων ἐνδεής; ὃ δὲ καὶ μόνη σπουδὴ τοῖς δικαίοις χαρίζεται λαμπρότητος. ὡς οἱ μὲν συνετώτεροι ὑπερέξαι ἀξιώσεις, νύκτωρ καὶ μεθ' ἡμέραν ὡς οἷοί τ' ἐπιμελούμενοι, ἀλλὰ ὅτι σπεύδειν ἐν μετρίοις ἐνόντες. κἀμὲ ὡς ἐντεῦθεν ἐκπεσόντες. εἰ δ' ἄλλως σοὶ δόξοι (ἀπίστους καὶ ἱδρώτων ἀνάπαυσιν ἢ περὶ ἐκείνην φροντίς) πρὸς καιρὸν μὲν ἴσως τρυφῇ ἐναρμόσεις. μετ' ὀλίγον δὲ τὰ ἀπὸ ὄψει τῶν προτρεχόντων συμβάσεις ἔνθα πέφυκεν ἡ μερίς.

Ἀπάντησις πρὸς τὸν Συμβουλευτικὸν ἢ Προτρεπτικὸν χαρακτῆρα:

Ἀπεστάλη ἡμῖν ἡ πρὸς τὸν συμβουλευτικὸν, ἢ προτρεπτικὸν χαρακτῆρα, χάριτας ὁμολογοῦντες τῷ συμβουλεύσαντι τὴν πρὸς ἡμᾶς εὔνοιαν. καὶ εἰ μὲν δίδοται ἀφ' ἑαυτοῦ βουλευόμενον ἦν, ταῦτα ἐπαινέσομεν. καὶ τὸ προτρεπτικὸν, ὡς λυσιτελῆ, ἢ δίκαιον, ἢ ἔννομον, καὶ τὰ ἑξῆς, μεγίστης ὑποδοχῆς παρ' ἡμῶν ἀξιοῦντες ἐποιήσαμεν. καὶ ὡς ἐς τέλος ἄξομεν τὴν ταχίστην διαλάβομεν. Ἢν δὲ μὴ, αἰτίας ἐξοίσομεν τὰς ἀξιολόγους. δι' ἃς οὐχ οἷοί τε ἐσμὲν ἐκπληρῶσαι ἃ προτρεπόμεθα. καὶ ταύτας ἀναθεωροῦσα τὸν φίλον ἐκλιπαρήσομεν, καὶ ἐξαῦθις πρὸς ἡμᾶς ἀπαντῆσαι:

Ὑπόδειγμα.

Καὶ πάλαι σου τὸ πρὸς ἐμὲ φίλτρον οἶδα, νῦν δ' οὐχ ἧττον καὶ τὴν σύνεσιν ἄγαμαι. ἑκάτερα γὰρ εἰς ἄκρον τοῖς πρὸς ἐμὲ σου γράμμασιν ἐμφαίνεις ἐνόντα σοι. ὡς μὲν ἀγχίνους συνεὶς τὰ ἄριστα. ὡς δὲ φίλος συμβουλεύων τὰ κάλλιστα. καὶ

σοι

σοι μεγίστη χάρις ἀμφοτέρων ἕνεκα. καὶ ὧν φιλεῖς. καὶ ὧν παραινεῖς κηδόμενος. Τῆς σῆς ἀξίας εἰ καὶ μὴ κατὰ τὴν ἐμὴν ἀγωγὴν καὶ προαίρεσιν, μανθάνω μέν τοι, ὅτι μοι καὶ τῆς ἱερᾶς ἐκκλησίας δούλοις παρεσκευασμένας καὶ διηλλαγμένας οἰκοδόμηται. ἀλλὰ καὶ τῶν ἐπηρεαζόντων τὸ κακεντρεχὲς ὑφορώμενος, καὶ νεμεσῶ τὴν προαίρεσιν. ὡς οἶμαι μεγάλα τῷ λοιπῷ τοῖς ἡμετέροις ἐπαιδεύσαντο ἀτυχήμασιν, εἰ τὴν παρὰ θεοῦ μόνον προνοίας ἔρημοι μὴ ἀπολειφθείημεν:

Ἄλλο.

Καὶ τὴν σὴν εὐχὴν ἦλθον πρὸς ἐμὲ σου ἐπιμελείας, ἣ τὴν ἀγάπησαν εὐνοίας, πλείστας ὁμολογῶ σοι τὰς χάριτας. καὶ γὰρ ἐξ ἀρίστης ἅμα γνώμης καὶ εἰλικρινοῦς διαθέσεως ἡ παραίνεσις. διό με καὶ μᾶλλον πεποίηκας δυσαναχετεῖν, τὸ μὴ δοκεῖν ἔχειν ἔργοις ἐνδείκνυσθαι τὰ προστεταγμένα. ἡ γὰρ τῆς παιδείας ἔνδεια, καὶ αὐτὴν ἀφῄρει μοι τὴν ἀναγκαίαν ἀφαίρεσιν. ἐξ ὅτου γὰρ εἰς τοῦτο ἦλθον τῆς ἡλικίας, ὡς τὸ κρίνειν ἔχειν τὸν ἐν τῷ βίῳ, προθύμως ὡμίλησα ταῖς θεραπείαις, ὡς συνεχῶς ὁ ἱερὸς ἕνα ἀγαθὸν συνεῖναι. περιέπουσι δέ μοι τὴν ἀσθένειαν, καὶ αὐτοὶ συνεπιδιδόντες. καὶ πλείστων ὅσων ἀγαθῶν μοι παραίτιοι γεγόνασι. ὡς οὐκ ἐβουλήθησαν ποτὲ ἀποστῆσαι, αὐτίκα καὶ πατρῷα πάντα φροντίδα καὶ ἴδια. ἐγὼ δὲ μάλιστα ἀντιπαρακαλεῖν τοὺς ὑπὸ τῆς παιδείας ἀμοιβὴν οἷός τ' ἄν, καὶ τὴν ὑπερορίαν τὴν πλουσιώτατον ἐκ ἀνέχομαι. οἶδα γὰρ ὅσου ἄξιον ὁ πάντα χρήματα ὑπερφρονήσας. περὶ δὲ τὸν πλοῦτον πάντες ἀγαθύνονται. εἰ γὰρ τὴν παιδείας ἀντιποιεῖσθαι βουληθείην, ἀνάγκη λοιπὸν ὑποθέσθαι θεραπείαν χρημάτων. εἰ γὰρ ὁ βίος ἅπας βραχὺς (κατὰ τὸν εἰπόντα) πρὸς μιᾶς τέχνης ἀντίληψιν, πῶς ἂν παιδείαν ἀσκήσαι ὁ ὑπὸ ποικίλων φροντίδων ἐνοχλούμενος; χωρίς βίου ἐκ ἀξιοῖ συνυπάρχειν τῇ κατὰ φιλοσοφίαν ζωῇ. Ταῦτα

φαι ἀνακαλέσαι τὴν προσηγορίαν. ταῦτα μὲν ὁ παιδείας ἀναχωρίζει. οὕτως δὲ καὶ ἰδιώτου ὄντος καὶ δεῖται παιδεία, ἄλλως ἂν ὑπερηφανήμην. καί σε ἀνεκτικῷ αὐτῷ ἔχει διδάξαι με· ὅτι οἶσθ' ὅ, καὶ τῆς πενίας ὑπερφυγεῖν. καὶ τὴν παιδείαν ἱερῶς βλέπομεν. οὕτω γὰρ ἂν καὶ αὐτὸς ἐμοὶ πλείω σοῦ φιλοπονικὸς ἔσῃ, καὶ εἰς ἔργον ἀγάγοις τὰ δόξαντα.

Περὶ Ἀιτητικοῦ καὶ Συστατικοῦ χαρακτῆρος.

Ὁ αἰτητικὸς χαρακτήρ, καὶ ὁ συστατικὸς ἑαυτοῖς συμβάλλουσιν. ὁ μὲν γάρ ἐστι τούτων ὧν ἐφιέμεθα αἴτησις· ὁ δέ, τὰ μὲν ἄλλα ὁ αὐτὸς ὤν, τῷ δι' ἑτέρου γίνεσθαι διενήνοχε. Τῶν ἀγαθῶν δέ, τὰ μέν εἰσι καθ' αὑτά, ἃ καὶ βέλτιστα τῷ φιλοσόφῳ καλεῖν φίλον· τὰ δὲ πρός τι τούτων ὧν ἐφιέμεθα ἀναφέρονται. οὐ ἐφ' ᾧ τῶν ὑπαρχόντων ἀγαθῶν διαφυλάττοντες ποιήσωμεν τὴν διαμονήν, καὶ μὴ προσόντα κτησώμεθα. οὐ ἐπὶ διακαλύψει τῶν προσδοκωμένων ἀνιαρῶν, καὶ διαφυγῇ τῶν ἐπικειμένων. τοιαῦτα δ' εἰσὶ τὰ ἐκτὸς ἀγαθά, ἐφ' οἷς καὶ τὰς αἰτήσεις ὡς ἐπὶ τὸ πλεῖστον ποιούμεθα. Ἐκεῖνο μέν τοι ἰδιαίτερον ὁ σύστασις ἔχει, ὅτι περὶ τῶν συνισταμένων, καὶ γνῶσιν ὁ ἀναγνωρίσει τῶν αὐτῶν, ὅτι εἰσὶν ᾠκειωμένοι ἡμῖν τε κἀκείνοις οἷς αὐτοὺς συνιστῶμεν. Πρὸ πάντων τοιγαροῦν ἐπὶ τῆς αἰτήσεως δύο ταυτὶ ἀμφοτεροῖν δεῖν. τίνα ἐστὶν ἅπερ αἰτοῦμεν, καὶ τίνες παρ' ὧν ταῦτα ἀξιοῦμεν λαβεῖν. εἰ μὲν γὰρ τὸ αἴτημα σύμφορόν ἐστιν ἡμῖν τε, καὶ οἷς αἰτοῦμεν, καὶ προσέτι ῥᾴδιον, καὶ δίκαιον, καὶ τὰ ἑξῆς, ἀνυποστόλως αἰτήσομεν, ὀλίγ' ἄττα προπαρακαλοῦντες, ἐφ' ᾧ τὴν τοῦ ἀξιουμένου προθυμίαν ἐπισπασώμεθα. εἶτα τὴν ἔνδειαν τῶν αἰτουμένων ὑποσημήναντες, ἀναγκαῖον ἐς αἰεὶ τὴν χρείαν παρεγγυήσωμεν. ὡσαύτως καὶ ἐπὶ τῆς συστάσεως, ἵνα ὁ συνιστάμενος τοιούτων δεόμενος τύχοι.

Ἦν

Ἢν δὲ τὴν αἴτησιν ὡς ἀργαλέαν, ἢ λυπηράν, ἢ αἰσχράν, καὶ τὰ παραπλήσια, αἰδώμεθα, πρός τε τὴν διάζευξιν τοῦ εὐεργετήματος ὑπόνοιαν διακρινώμεθα, πότερον ἐπιτρέπουσι τοῖς αἰτουμένοις, εἰ τὴν ἀξίωσιν ὑποκρούσηται, ἐν γυμνῷ ἐξουσίαν τὴν αἴτησιν. ἀλλὰ πολὺ πρότερον θεραπεύειν τὴν ἐκείνου γνώμην πρὸς τὸ ἡμῖν ἐπαγωγότερον μεθαρμόσαι, καὶ πρὸς συγκατάθεσιν παρασκευάσασθαι. τὰ μὲν παρ' ἡμῶν αὐτῶν, τὰ δὲ ὑπὲρ ὧν τὰς αἰτήσεις ποιοῦμεν. εἶτα ἀξίους τε παρ' ἐκείνου χάριτος ὑποφαίνομεν. ἀρχὴν μὲν τὴν κατεπείγουσαν ἀνάγκην ἐπιτάξεως ἐξείπωμεν. Εἰ δέ τι καὶ εὖ πεπονθότες ἐσμὲν παρ' ἐκείνου, οὐχ ὅπως ἀφηγησώμεθα, ἀλλὰ καὶ λαμπρῶς ἐπαινέσωμεν. καὶ ὅτι τὰ νῦν, εἴπερ ποτὲ τοιούτων τυχεῖν ἀξιοῦμεν, τοὺς τὴν ἱκεσίαν ποιοῦμεν, μεθ' ἣν ἐκεῖνόν τε πρὸς ἅπαντας αὐτοῦ φιλανθρωπίας καὶ στοργῆς ὑπομνήσωμεν. ἐξαίροντές τε καὶ ἐγκωμιάζοντες, ὃ καὶ τιθασσεύοντες τὴν αἴτησιν ποιησώμεμεν. Καὶ εἰ μὲν εἴη καὶ πρότερον εὐεργετηκώς, καὶ ταύτην προσεπιμετρῆσαι τὴν χάριν ἐκεῖνον, λέγοντες, μὴ τοὺς πρώτους τῶν ἑξῆς ἀτιμάσοι, κρείττους ὄντας ὡς ἐπιδεῖξιν ἀπολελαυκέναι δόξει. Ἢν δὲ πρώτην ταύτην αἰτῶμεν, διὰ τοῦτο ἐροῦμεν ὅτι πρώτην ὑποτυχεῖν ἐν δεῖ, ἐν δὲ τῇ σήμερον ἀλλαχόθεν φανῆναι τὰ πράγματα. ἢ τοῖς τε ἄλλοις καὶ ἡμῖν χαριζομένοις ἐν ἐκείνοις τὴν δρᾶμαν ἄγωγεν. Εἶτα τὸ αἰτούμενον παντὶ σθένει ὑποφῆναι πειρασώμεθα, δίκαιον, ἔννομον, καὶ τὰ ἑξῆς. ἐὰν δὲ μὴ τοιοῦτον εἴη, ἀλλὰ γοῦν ἡμῖν ἀναγκαῖον, κρεῖττον ῥᾴδιον, ἢ λυσιτελές. καὶ ἅμα τὸν τρόπον ὡς ἂν ἐντεθείη εἰς πέρας ἀκριβῶς ὑποθώμεθα. Ἀπορροῦντες δὲ, ἢ διὰ τὸ ἐργῶδες ὀκνοῦντες, τῇ ἐκείνου μεγαλονοίᾳ παρεῖναι ἐροῦμεν. ἡμεῖς δὲ τὴν ὑπὸ τοῦ εὐεργετήματος ὄνησιν, ἢ δόξαν, ἢ ἔπαινον, μάλιστα δὲ μνήμην ἀΐδιον ὑποσχώμεθα, ἐκλιπαροῦντες μὴ καταπροέσθαι ἡμᾶς ἐν τοσαύτῃ τῶν πραγμάτων ἀκμῇ:

Ὑπόδειγμα.

Πάλιν ἐν ἀπορίαις ἐγώ, καὶ πάλιν ἐδεήθην πρὸς σὲ· καί μοι δοκεῖ ἐπ' αὐτῷ τούτῳ τὴς δυσχερείας ἐπιτείνεσθαι [illegible] λοιπὸν [illegible] δέομαι, ἀφ' οὗ σοι μείζους τὰς [illegible] ἀποδίδοντες [illegible]. ἀλλὰ γὰρ καὶ σὺ τὸ εὖ ποιεῖν χαίροντα, καὶ μὴ παρ' ἄλλου λαβεῖν ἔχοντα. Θῆρες γοῦν μοι ἐπιστάντες τὸν λιμόν, [illegible] τὰ παιδία [illegible] ὁμοῦ διάγοντες ἐδείξαν, οὐδ' αὐτὸς μὴ ἀπέρχεσθαι, κἂν [illegible] φίλους ὡς ἑαυτοὺς τὸν βίον [illegible]. καὶ τάχα μᾶλλον [illegible] τοὺς [illegible]. ὡς ἄρα τὰς μουσῶν φίλος λιμῷ [illegible], ὅτι ταῦτα φύσει μετέβαλλε. νυνὶ δὲ μετὰ τῆς λιμῆς καὶ χρημάτων ἀπολαύσας τῶν ἄλλων καὶ μουσικῆς [illegible]. αἱ Μοῦσαι γὰρ ἀπαιδεύτων τὸν χρυσὸν [illegible], ὡς [illegible], [illegible]. καὶ οὐ φασιν [illegible] ὅτι ἂν μὴ τὸ χρυσὸν ἀπολέσας, [illegible] ἀνθρώποις ἀγαθῶν τὴν ψυχὴν [illegible] μοι. αἱ δὲ λόγοι τοῦ [illegible] ὑμεῖς [illegible] ἀνδρείας [illegible] καὶ [illegible] λιμοῦ καὶ [illegible] ἀνδρειοτέρους [illegible], [illegible] ἄν τις φαίη, ὡς [illegible]. Ὦ βέλτιστε, σὺ πρὸς πάντας ἐν ἀγαθῷ [illegible], καὶ τὰς [illegible] χαίροντας [illegible], [illegible] ἀλλὰ [illegible] μή τι πάθῃ τὸ σῆς ἀνάξιον φύσεως, ἀλλὰ πάλιν [illegible] τὸν [illegible] τὸν ἄνδρα χρήσιμον, Μούσαις διαλλάξας καὶ λόγοις. τὸ [illegible] αὐτοῦ [illegible] χάριτι. καὶ [illegible] μουσῶν καὶ λόγων αὐτῶν, [illegible] μουσῶν καὶ λόγων [illegible].

Ἄλλο.

Σὲ μὲν πρὸς [illegible] τὸν φίλον παρακαλῶ, τοῦτον [illegible] καὶ [illegible] εἰς [illegible] ἀφεῖναι, τὸ δὲ [illegible] διὰ τὸ [illegible] σου τῆς [illegible] (ἥτις ὑπ' αὐτῷ

αὐτῷ τούτῳ καταπλαγῆναι τὴν γνώμην πεπίστευκα, ἀφ' ᾧ τοῖς δεομένοις κοινὸν ὄφελος γίνεται) ἀλλὰ καὶ διὰ τὴν ἀρετὴν τοῦ χαρίζοντος βεβαιότητος· ὅστις ὀλίγοις τῶν καθ' ἡμᾶς ἐστὶν ἐφάμιλλος. σαφῶς δὲ εἰ βούλει, ὅτι καὶ φίλος ἡμῖν ὁ ἀνήρ, καὶ τὸ μέγιστον, ὅτι καὶ δικαίως δεδόμενος. ἵνα μέν τοι σου τῇ ἀποκρίσει τὰ εἰκότα χαριζόμενος δόξω, τὴν ἐπιστολὴν ἀποδέδωκα. καὶ ὅπως σοῦ καθάπαξ ἐντυχεῖν σοι παρέχοιμι ἀφορμὰς εἰς. ᾧ γε τοσούτῳ ἥδιον χαριεῖ, ὅσῳ καὶ μᾶλλον αὐτῷ ὁμιλήσεις. εὑρήσεις γὰρ ἄνδρα καὶ συνετὸν ἐς τὰ μάλιστα, καὶ τοῖς σοῖς τρόποις ἁρμόζοντα, καὶ τῆς ἡμῶν οὐκ ἀνάξιον φιλίας. ὅτι καὶ τῆς χάριτος, εἴ περ τις ἄλλος, ἀμείψασθαι οὐκ ὀκνήσει, ἐὰν τῶν τρόπων εἴσῃ τῶν τοῦ ἀνδρὸς ὁμιλήσας:

Ἀπάντησις πρὸς τὸν Αἰτητικὸν καὶ Συστατικὸν χαρακτῆρα.

Πρὸς τὴν αἴτησιν ἀπαντῶντες, εὐφραινόμεθα μὲν ἀξιοῦμεν ἐντετυχηκέναι τοῖς παρὰ τοῦ φίλου γράμμασι. καὶ εὐθέως τὴν τυχοῦσαν ἡμῖν ἐμπιστεύσωσι τοῖς ἡμετέροις χρῆσθαι ἀξιώσαντα. τοῦτο γὰρ καὶ μόνον ἀπολαύομεν ἥδιστα φύσει μὲν, ὅσα ἂν ἀπαιτῶσι τοῖς φίλοις γενοίμεθα χρήσιμοι. Καὶ εἰ μὲν τὸ αἴτημα συνεσταλμένως ἀξιώσειας, λαμπρῶς τὰς περὶ τούτου ὑποσχέσεις ποιούμεθα. καί πως καὶ μεμψαίμεθα, εἰ τὴν αἴτησιν ὡς περὶ μικρῶν, καὶ ὅτι μὴ καὶ πλείω καὶ μείζω ἡμῖν ἐπιτάττει, ἵνα καὶ χαρισώμεθα τοσοῦτον, ὅσον καὶ βουλόμεθα. εἰ δὲ τρόπον, ἐπὶ διὰ πλεῖον καὶ δι' ἀληθείας μᾶλλον ἢ χρῆσθαι τῶν ἡμετέρων πρὸς ἐκεῖνον διατεθεῖσιν. Πέρας δὲ καὶ ὡς τάχιστα παρεγγέλλομεν μὴ αἰτεῖν ἡμᾶς εἴ τι δέοιτο τῶν ἡμετέρων, ἀλλ' ἀπαιτεῖν, εἰδὼς ὅτι κοινὰ τὰ τῶν φίλων, καὶ τὰ τοιαῦτα.

Ἣν δ' ἀναπεισθῶμεν, μὴ δόξαν ὑπουργοῦσι τῇ ἱκεσίᾳ.

ὡς ταῦτα πολλάκις αἴτια καὶ τῆς ὀλιγωρίας, μή που λύσαντες τὴν φιλίαν δόξωμεν. Ζημιωθῆναι οὖν ἐν τοῖς καιρίοις ζητοῦμεν, τὴν ἀποπεμφθεῖσαν χάριν εἰς ἔργον ἀγαγεῖν μὴ δυνάμενοι. αἰτιῶντες δ' ἅμα καὶ τὴν τύχην κατασπωμένην, ὡς ἀντίξουν προθυμίᾳ τῇ ἡμετέρᾳ, οὐδ' ἡμῖν αὐταῖς συγχωροῦσαν ταῖς χρείαις, ὥστε τοῖς φίλοις· ὃ καὶ μᾶλλον ἡμᾶς ἀνιᾷ. ἀλλὰ καὶ εἰς τὸν καιρὸν, καὶ τὰ κατ' ἐκεῖνον συμβαίνοντα, τὰς αἰτίας δεῖν ἀναγαγεῖν. ὡς μὴ συμφέροντα προαιρέσει τῇ περὶ τὴν ὑπουργίαν. καὶ ὅτι πολλὰ τῶν πρακτικῶν ὁμοίως ὡς ἀντιπράττοντα. Ἔστι δ' ὅτε καὶ εἰς τὴν ὑπουργίαν, ἣν οὐκ ἔστιν ἡμῖν ἐκπεπληρῶσθαι καίπερ ὅτι πολλοῦ στον ἀποδεδωκόσιν. Ὅλως δὲ τὴν μὲν προαίρεσιν προθυμοτέραν ὡς εἶναι δείξωμεν. τὴν δ' ὑπουργίαν, εἴ τι τοιοῦτον, καταπαύσωμεν. ἀδύνατος δὲ ἔργον, ὃν τὸ ὑπουργῆσαι τὰ μὴ ἐφικτὰ, ἀλλὰ προθυμηθῆναι τὰ δυνατά. ὅθεν χρῆναι τὸν φίλον φύσει μὲν τῆς προθυμίας σκοποῦντα τὴν διάθεσιν, τὸ ἐν ἔργοις ὑπουλὲς μὴ καταμέμφεσθαι. Τέλος δὲ τὴν χρῆσιν ὧν ἐσμὲν κύριοι καμπτῶς ὑπισχνούμενοι. ὧν οὔτε διεσθείη, ὄψει καὶ χαλκοῦ δήμιον ἐργάσασθαι, τὸ παροιμιακόν.

Ὑπόδειγμα:

Ἡδέα μέν σου τὰ γράμματα. καὶ γὰρ εἰς κάλλος κομψείας ἐξήσκηνται. ἐμοὶ δὲ ἥδιον, ὅτι παρὰ σοῦ. ἐπεὶ καὶ τοῖς ποθοῦσιν, ὅσα τῶν ποθουμένων γνωρίσματα. τὸ δὲ καὶ χάριν αἰτεῖν, ὁποῖαν ἄν τις αἰτοῖ, ἡδονῆς ἅπασαν κρείττω; τούτου γὰρ μὲν τῶν περισσόντων ἀπολαύσασθαι οἴομαι, ὅσα ἂν τοῖς φίλοις εἰς ὄνησιν γένοιτο. καὶ τοῦ μεγάλου τῶν Μακεδόνων Ἡγεμόνος διὰ τοῦτο τὴν φύσιν ζηλῶ, κἂν τῆς δυνάμεως ἀπολείπωμαι. ὃς περσικῶν λαφύρων τῶν πολυτελῶν ἐκείνων καὶ ἰνδικῶν λιθάκων, τοὺς φίλους προὐτίθει· καὶ τῇ δία τοὺς θησαυροὺς ἐρωτῶντι θέσθαι, τοὺς φίλους ἐδείκνυε.

ἐδόμενος. Πέπομφά γε νῦν σοι τῶν ἀλφίτων αὐτίκα τὸ χρέφιω ἀναγκαίους, μεδίμνους πλεῖν ἢ τέτταρας. λιμοῦ ἀλεωρὴν καθ' Ἡσίοδον. πέμψω καὶ ἐς αὖθις: Πρὸς δὲ τὴν τοῦ ψύχους ὕβριν, τὸν γεραίτερον ἐπέταξα ὑπερπλήρη τὴν φορτηγὸν ἄκατον κομίζειν σοι. δι' ὧν ἴσως σοι καὶ τῶν κρύων ἀντιμηχανήσασθαι, καὶ τεχνιτεύσαι θάλπος ὥρᾳ χειμῶνος. λόγοις τε πάλιν ἀναχαλάσαι καὶ Μούσαις, εἰ βούλει δὲ καὶ πολὺ πέπεικας. Σὺ δ' ἄλλα τῶν ἐμῶν ὅτι σοι καλλωπίζομαι, ἀπαιτοῦν χάριν. εὖ ποιῶν γὰρ ἴσῃ τὰ μάλιστα, φίλοις εὖ ποιεῖν ὑποθέσεις πορίζων μοι:

Ἄλλο.

Χάριν αἰτήσας διὰ γραμμάτων, ὅλην ἐμοὶ τὴν χάριν ἐδώρησας. οὐ μόνον σου διαθέσεως ἕνεκα τῆς περὶ ἐμὲ, καὶ τρόπων χρηστότητος, ἀλλὰ δὴ καὶ ἀρετῆς τοῦ σημαινομένου. καὶ τὸ πλέον, ὅτι τοῖς ἡμετέροις ἠξίωσας χαρίσασθαι. ἐκεῖνο μόνον ἔδοξας χάριτος ἐλλιπὴς, τὸ χάριν αἰτεῖν, δι' ὃ τὸ μή τι πάνυ θαῤῥεῖν ἡμῖν ὡς φίλοις ὑποσημαίνεται. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, ὡς παλαιὸς βούλεται λόγος, αἰτεῖν οὐκ ἔδει, ἀλλ' ἀπαιτεῖν. Καὶ ταῦτα ὑπὲρ ἀνδρὸς τοιούτου. ὃς καὶ ἀρετῆς ἕνεκα τῆς αὐτοῦ, πάντων ἐστὶν ἐπιτυχεῖν ἄξιος, ὧν ἐσμὲν κύριοι. καὶ ταύτης εἰ πιστεύσαιεν ἐπέσχηκεν ἀμφοτέρων ὢν, ὅτι μέν τοι φίλος σὸς, ἔτι δ' ἀξιώτερος εἴη τυχεῖν τῶν ἑαυτῶν:

Περὶ Παραμυθητικοῦ χαρακτῆρος.

Παραμυθία ἐστὶν, ὑπόσχεσις ἀθυμίας. παραμυθητικὸς δὲ τύπος, ὅταν ἐπὶ ταῖς τῶν φίλων χρώμεθα λυπηρίαις. ἀπὸ τῆς τραχύτητος τῶν δυσφορῶν, εἰς τὸ λειότερόν τι καὶ γαληνότερον τὴν ἐκείνων ψυχὴν μεταπειθόμενοι. Ὕλη δ' αὐτῷ, ἢ τῶν ὄντων ἢ δικαιωτέρων ἀγαθῶν ἀποβολή. ἢ πρὸς

τῶν

περὶ ἀνιαρῶν ἔφοδος. τοιαῦτα δ' εἰσὶ, τά τ' ἐκτὸς ἀγαθὰ, καὶ τὰ τοῦ σώματος. καὶ ἐπὶ λόγῳ, ὅσα δὲ τοῦ χρόνου ἢ τύχης ῥοπαῖς ὑποπέπτωκεν. ἐφ' οἷς ἀγάλλεσθαι ἀνθρώποις. ὥσπερ οὖν ἐπὶ τοῦ εὐχαριστικοῦ ἀπὸ τῆς ἐνούσης ὠφελείας ἐλέγομεν, ἣν ἐπὶ τῇ τῶν φίλων εὐεργεσίᾳ ἐκαρπωσάμεθα. οὕτως ἐπὶ τοῦ παραμυθητικοῦ ἀπὸ τῆς λύπης, ἣν προεξένησεν ἡ συμφορὰ τούτων, συναλγεῖν ἡμᾶς φάσκοντες καὶ συναχθεσθαι, οὐχ ἧττον, ἢ εἰ ἡμεῖς ἦμεν οἱ πεπονθότες. καὶ ἅμα τὸ μέγεθος τῶν ἐκείνοις συμβάντων ἀλγεινῶν, ποιήμασι παθολογίαις, καὶ αὐτὸ ὑποτιμάζοντες ὑπεμνήσαμεν. Χρὴ δ' ὅμως λέγοντας μὴ ἀποδύρεσθαι δυσφορεῖν ἐπὶ τῷ γεγονότι. ἀλλὰ μετρίως φέρειν, κἂν βαρὺ δοκῇ καὶ δυσκαρτέρητον: Εἶτα τὰς πίστεις ἐπισυνάψομεν. καὶ πρῶτον ἀπὸ τοῦ προοιμίου πρὸς τὸ τὸ παραμύθιον. καὶ εἰ μὲν περὶ παιδείας ἀντιποιουμένου εἴη, ὡς δυνατὸν ἐστὶν, ὅ, τι ἂν φορητὸν ἀνδράσι σοφοῖς, παρ' οἷς δυνατὸς λόγος ἀξιοῦται τὰ τῆς δε, οὕτω καὶ ὡς ἑτέρως ἔχοντα. ὅτι ἔστι καὶ τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν κηρύττουσι, καὶ κρείττους τῶν παθῶν ἐπαγγέλλονται: Εἰ δὲ μὴ τοιοῦτος, ἀλλά τις τῶν ἐν ἀξιώμασιν, οἱ μή τις ὑποτάσσειν ἑαυτὸν καὶ θηλυπρεπὴς, αἰσχρὸν τῶν φήσομεν, ὡς στερρὰν καὶ βέβαιον τὴν διάνοιαν, θηλυπρεπέστερον χαλεπαίνειν τῷ πάθει. ἐν ἐχρῆν τινὰς τι ἄλλους νουθετεῖν, καὶ τῆς κοινῆς φύσεως μὴ ἀγνοεῖν τὸ πεπλασμένον. Ὅλως δὲ τὰ εἰκότα τῷ προοιμίῳ συναφθῆν χρή. Κἆτα ἀπὸ τοῦ συμβάντος. ὡς ἀνθρώπινον. ταράττει γὰρ ἡμᾶς τὰ πολλά, οὐ τὰ πράγματα. ἀλλ' αἱ περὶ τῶν πραγμάτων ὑπολήψεις. ὡς κοινὸν ἀνθρωπίνῃ φύσει. ὅτι καὶ μείζω καὶ πλείω τοῖς πᾶσιν ἐπήρτηται. πολλοὺς δὲ καὶ τὰ χαλεπώτατα ἤνεγκαν, ὧν καὶ ὑποδείγματα ἐξετάσομεν. καὶ τῶν ἀλλοτρίων παθημάτων ἐλάττω τὰ ἐκείνου συγκρίνοντες, ὅπερ ἐν ταῖς παραμυθίαις δυνατώτατον ἐστὶν ἐπιχείρημα. ὕστερον δ' ἐπὶ τοῦ θανάτου τὴν παραμυθίαν ποιησόμεθα, καὶ ἀναγκαῖον δείξομεν.

δείξομεν· ἐφ' ὃν πάντες ῥοπῇ ἀναγκαίᾳ τῆς φύσεως ὑποκείμεθα. καὶ οὐκ ἴσμεν εἰ καὶ μετ' οὐ πολὺ σὺν ἐκείνῳ ἐσόμεθα: Τρίτον ἀπὸ τῶν περιστατικῶν. μάλιστα δ' ἀπὸ τοῦ τέλους διακρινοῦντες τοῦ συμβάματος περιστατικῶς τι τῶν προσπεσόντων συμφέρον. ἢ ἐπὶ τὸ σῶμα ἀνῆκον, ἢ εἰς ψυχήν. οἷον ἡ θανάτου, καὶ τῶν κατοιχομένων. οἷον φέρε εἰπεῖν, Εἰ παρῆλιξ καὶ ἔξωρος ἦν ὁ ἀπελθών. ἅλις τῶν τῇδε ἀγαθῶν ἀπόλαυσιν, εἰ ὅλως ἀπόλαυσιν καὶ μὴ τιμωρίαν καλεῖν χρὴ τὴν ἐν τῷδε τῷ βίῳ διατριβήν. ὅτι τὸ γῆρας ὡς παγχάλεπον τύραννον ἐξέφυγεν, τοσαῦτα καὶ τηλικαῦτα τοῖς γεγηρακόσιν ἐπάγον ἀνιαρά. ὧν καί τινα ὑπομνήσομεν. Εἰ δὲ πρόωρος ἐτελεύτα, τοῦτον μακαρίσομεν, ὡς τῶν τοῦ βίου δεινῶν ἁπάντων συλλήβδην ἀπαλλαγέντα, πρὸ τοῦ γεῦσαι καὶ πεῖραν δοῦναι. καὶ ἅμα τινὰ τούτων ἀπαριθμησόμεθα. φθόνους. ἐπιβουλίας. νόσους. ταλαιπωρίας. κινδύνους κατά τε γῆν, καὶ κατὰ θάλατταν. δικαστῶν τὸ πικρόν. πονηρότερον τὸ ἁμάρτημα. δούλων τὸ κακεντρεχές. φίλων τὸ ἄπιστον. καὶ τὰ ὅμοια: Σκοπεῖν δὲ χρὴ καὶ τί παθὼν τέθνηκεν, ἢ τί λυπηρὸν πέπονθεν. εἰ ἀριστεύων, ἢ ἀγωνιζόμενος ὑπὲρ εὐσεβείας, ὑπὲρ δικαίου, ὑπὲρ πατρίδος, οἰκείων, φίλων, καὶ τῶν ὁμοίων. ἀπὸ γὰρ τούτων ἁπάντων εἰς παραμυθίαν εὐπορήσομεν ἐπιχειρήματα. Τελευταῖον δὲ, καὶ τὸ πένθος εἴτ' οὖν ἀνακαλεῖσθαι, ἀσύμφορον δείξομεν. τὸ γὰρ ἅπαξ παρελθὸν, οὐκ ἔστιν ὅπως ἄλλως ἕξει. καὶ ὅτι τῶν προσηκόντων ἀφέλκεται. τῷ δὲ ὑποιχομένῳ, μὴ ὅτι γε ἀνωφελές, ἀλλὰ καὶ ἐπιζήμιον. Δεῖ δ' ὅλως τὸν παραμυθοῦντα, τὴν τοῦ δεινοπαθοῦντος διάθεσιν ποιεῖν. ἔστι γὰρ καὶ ἐπιπλῆξαι ἔστιν οὗ ἐν παραμυθίαις ἀθυμοῦσι τοῖς φίλοις· ὥσπερ μέν τοι ταύτῃ τῆς ἀθυμίας ἐπέχειν δυνηθῆναι. ὡς ὁ Θεοφύλακτος ἐν τῷ ἐννάτῳ τῶν ἠθικῶν. Πέρας δὲ, βραχὺ ἐπιλόγῳ εἰς εὐθυμίαν περιτρέψομεν, καὶ λήθην τῶν ἀνιώντων:

Ὑπό-

Ὑπόδειγμα.

Οἷον ἄρα με τὴν ψυχὴν διαδέδυκε τὸ ἄλγος τοῦ χρηστοῦ σοῦ ἔστι παιδὸς ἀκούσας τελευτήν; πάνυ μὲν οὖν ἀφιλοσόφως, καὶ ἀνῴμωξα, καὶ δακρύων ἀφῆκα πηγάς, καὶ πολλὰ καταμεμψάμενος τὸν δαίμονα, ἐφ' οἷς ἀφιλανθρώπως διάκειται τὰ πρὸς σέ. χρῆν γὰρ εἰ δυνατὸν, ἥκιστα τοιοῦτον ἄνδρα ἀνιᾶσθαι· εἰ δὲ μὴ, ἀλλὰ γοῦν ὡς ἐλάχιστα. Ἀλλ' ἴσως μὲν καὶ ταῦτα οὐκ ἀλυσιτελῆ. τίνι δὲ λόγῳ; οἶδα πάντως ἡ φρόνησις. ἀνθρώποις δὲ φέρειν εἰκὸς ὁποῖα ποτ' ἂν ᾖ, καὶ ὅπως ἂν ἔχῃ τὰ παρ' αὐτῆς ἐπαγγελθέντα. καὶ ταῦτα ἡμῖν καὶ ἡ πολυετὴς πεῖρα μᾶλλον τῶν ἐπ' ἀμφοτέρας μεταβολαῖς ἐγγυμνάζεσθαι, καρτερικωτέρους ἀπέφηνε. καὶ ἡ ὑπόθεσις μέχρι ἐφεῖσα ζημίας ὑπολαμβάνειν τὴν ἀπὸ τῆς ἀρετῆς ἔκπτωσιν ἐνδείκνυσθαι τοῖς πολλοῖς εἰς φιλοσοφίαν ὑπόδειγμα βούλεται. οὐ γὰρ Ἐπικτήτῳ δοκεῖ, πεπαιδευμένον μὲν δεῖν, οὐδ' αὐτὸν ἐν τοῖς λυπηροῖς, οὔτε τὸν ἄλλον τινὰ ἀνιᾶσθαι. ἀλλ' εἰδότος ὡς οὐδὲν ἔτος ἀνέκαθεν, ὃ μὴ ἀνθρωπίνῃ τύχῃ προσδέδεκται, πρὸς τὰ ἀντιπίπτοντα παρασκευάζῃ. εἰ γὰρ καὶ ψυχὴν ἔλαχεν ἀκήρατον ἄνθρωπος, καὶ διὰ τοῦτο ἄτρωτον. ἀλλὰ καὶ βάρει σώματι συνέζευκται, καὶ διὰ τοῦτο λύσιμος. καὶ οὐκ ἔστιν ὅ,τι τῶν προσδοκωμένων περὶ φύσεως ἀνθρώπου, ὡς θάνατος. Εἶτ' οὖν περὶ τοῦτο σε χρὴ ἀνιᾶσθαι ἀπαρτιζόμενον, ὅτι θνητὸς ὢν, θνητά τι καὶ πέπονθας; τοῦτο γὰρ ἂν κλαίειν πειρωμένων εἴη τ' ἀκαιρίας. Ἀλλ' ὅτι πρόωρος τέθνηκε δυσφορεῖς; καὶ τί δ' ἂν εἴποιεν οἱ τοῖς παισὶ καὶ τὴν μητέρα συναποβαλόντες; οἱ δ' ἐπὶ δυσὶν ἔτι ὅτε καὶ τρεῖς ἅμα τῷ αὐτῷ κεχρημένοι τάφῳ; καὶ ταῦτα μηδενὸς ὑπολειπομένου τοῦ κλήρου; οἶδα δέ που οἷον συμφοραῖς τὸ παλαίτερον τῶν ἀνθρώπων περιεσχίσθη γένος. μετὰ μὲν καὶ γῆ καὶ θάλασσα, φόνοι. λοιμοί. ἐπιδημιῶν ἐρημώσεις. καὶ ἄλλων μυρίων δυσχερεστάτων κακῶν. ἀγαθοὶ

θοῦ δὲ ἐν τῷ βίῳ οὐκ ἔστιν οὐδ' ὄναρ ἀπολαῦσαι, μὴ καὶ δυσχερέσιν ἀναπεφυρμένου. ἐφ' οἷς σε δέον καὶ χάριτας ὁμολογεῖν τῷ χρεὼν, ὅτι σου τὸν παῖδα τῆς ἀβιώτου ταύτης καὶ κακοδαίμονος διαγωγῆς ἀπαλλάξαντι· μὴ ὅτιγε δυσχεραίνειν. καὶ ταῦτα ἐπ' οὐδενὶ τέλει χρησίμῳ. σαυτῷ τι γὰρ τὸ λυπούμενον τοῦ βίου ἀπείρως χαλεποῖς, κάμνοντας οὐδὲν ὠφελοῖς. ἀλλ' ὅ φησιν Εὐριπίδης, Σοφὸν γὰρ οἶμαι τὸ χρεὼν δρᾶν ἑκούσιον. Χρὴ δὲ ὑπὲρ μετὰ τῶν ὑποκειμένων, ἐξιλεοῦσθαι τὸ θεῖον. τοῦτο γὰρ καὶ λυσιτελὲς, καὶ ἄλλως ὅσιον. σαυτὸν δὲ εἰδότα ἐν σώματι, τὰ εἰκότα τῷ μετὰ σώματος βίῳ ἀφοσιοῦσθαι:

Ἄλλο.

Ὅσον ἐγὼ δυσχερῶς διετέθην τὴν περὶ σὲ ἀδικίαν πυθόμενος, τί χρὴ καὶ λέγειν; πάνυ μετ' οὐδέν· πῶς γὰρ οὐκ ἔμελλον, ὃν ἐχρῆν ἐπὶ πᾶσιν αἰδέσιμον, ὡς ὑπαίτιον ἀλλοίων κρινόμενον; καὶ ταῦτα ὑπὸ τινῶν, οἳ περὶ σῶφρον εἶναι τῶν ἀδικουμένων (ὡς μάτην θρυλλοῦνται) ὑπόρρημα χεῖ, οὐκ ἂν δικαστήριον ὤφειλον ψῆφον, ὅ τι μὴ σοὶ τὴν νικῶσαν ἐπιψηφίσοντες. ἀλλὰ δῆλον ὡς μικρὰ τοῦ καλοῦ καὶ τοῦ δικαίου οἱ τοιοῦτοι φροντίζουσιν. ἴσασι γὰρ πάντες οἷα κακουργοῦσι θείοις καὶ ἀνθρωπίνοις ἐνυβρίζοντες νόμοις. ὅτι οὐκ εἰς μακρὰν χαιρήσουσιν εὖ οἶδα. πᾶσι γὰρ ἤδη δι' ἀπεχθείας εἰσίν. ὧν τὸ τυραννικὸν μισοῦντες τοῦ τρόπου, ἐλευθεριάζουσιν ἅπαντες. καί γε εἰκός. οὐδὲν γὰρ βίαιον μόνιμον· τὸ δὲ ἄδικον, καὶ καθ' ὑπερβολὴν βίαιον. ἂν δὲ μὴ, ἀλλὰ γοῦν ὑφέξουσι πάντως τὴν δίκην τῷ ἐφόρῳ τῶν νόμων, περὶ ὧν κατὰ νόμων ἀσελγαίνειν τολμῶσι. σὲ δ' οὐκ ἔδει ἀπαραμύθητα δυσφορεῖν ἐφ' οἷς ἠδίκηται ἐκείνοις, διὰ πολλῶν ἐλθόντα, καὶ τοῦ ἀνθρωπίνου βίου ὅσον ἐστὶν τὸ ἀνώμαλον πείρᾳ μεμαθηκέναι, ὡς καὶ παραινεῖν ἄλλοις, οὐχ ἧττον διὰ τῆς πείρας ἢ φρονήσεως δύνασθαι· καὶ μάλιστα οὐκ

ὄντος

ὄντος τοιούτου, ἐφ' ᾧ δυσχεραίνεις, οὐδὲ δεινόν. κἂν γάρ τι τῆς ἐκκλησίας ἀπείρξαντο, οὐ παρὰ τοῦτο καὶ ἐλυμήναντο. τὸ γὰρ μέσον ὑπὸ τῶν τελείους κρίνεσθαι πέφυκε. τὸ δὲ κοινωνεῖν ἐκκλησίας, εἰς ἁγιασμοῦ κοινωνίαν καὶ χάριτος τῆς ἀναφορᾶς ἔοικεν. Εἰ τοίνυν ἄξιοι καὶ μὴ μεταλαγχάνοντι ὡς ἄλλοι ταὶ τῆς ἐκκλησίας, τὸν ἁγιασμὸν ὡς ἐκεῖνοι καρποῦσθαι καὶ χάριν, μᾶλλον δὲ ὑπὲρ ἐκείνους ὡς ὁ τοῦ ἁγιασμοῦ προπυργοὺς καὶ χαρίτων διδάσκαλοι, ἐν οἷς πολὺ τῆς δικαιοσύνης ἕνεκα διωγμοὺς μακαρίους ἡγεῖται, τί δὴ σοι τοῦ κοινωνεῖν ἐκκλησίας, ἐμοὶ μὲν δοκεῖ τι πεπονθέναι μηδὲ οὐδέν. δεινὸν παρ' ἐκείνων, κερδαίνειν δέ τι καὶ μᾶλλον ἐν αὐτῷ τῷ τοῦ ἁγιασμοῦ τε καὶ χάριτος λόγῳ. κἂν ἐκεῖνοι μὴ βούλωνται. τὸ γὰρ μηδὲν ἀδικοῦντα ἐκκλησίας ἀπείργεσθαι, τοῦτ' αὐτὸ τῆς θείας ἐστὶ προξένος χάριτος, καὶ ἁγιασμοῦ προσθήκη μᾶλλον ἢ ἐκπτῶσις. Ἀλλ' εἴποις ὅτι καὶ ἀδικεῖσθαι δεινόν, ἀλλά τοι καὶ κατὰ Πλάτωνα, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον ἐστὶ κακόν. ἔχεις πολλοὺς τοὺς συναδικουμένους, καὶ πλείω καὶ μείζω πάσχοντας. τὸ δὲ κοινωνεῖν τοῦ πάθους ἔχειν, πάντως ἡ μικρὰν τῆς παραμυθίαν μνηστεύεται. μὴ οὖν ἀγανάκτει. ἡνίκα γὰρ τὴν διάνοιαν καθαρὰν ἔχῃς, σαυτῷ ἄξιος ᾠκειωμένον τὸ θεῖον. ᾧ γε συνόντι, τῶν τοιούτων σαλμωνειῶν μελέτω σοι μηδὲν ἀπειλούντων. εἰ γὰρ ὁ Θεὸς μεθ' ἡμῶν, τὸ ἱερὸν φησὶ λόγιον, τίς καθ' ἡμῶν;

Ἀπάντησις πρὸς τὸν Παραμυθητικόν.

Ἐ δὲ πρὸς τὸ παραμυθητικὸν ἀπαντῆσαι δεῖ, τὴν μὲν παραμυθίαν ὡς ἀπὸ φιλοστόργου διαθέσεως καὶ εἰς σύνεσιν ἀπηκριβωμένην, ἣν τῆς τυχούσης ἐσχόμεν παρ' ἡμῖν ὑποδοχῆς τετυχηκέναι. Καὶ εἰ μὲν δόξῃ μεταπαραμυθοῦντες ἡμᾶς πρὸς τὸ ἀνεκτότερον ὑποφέρειν, μὴ διαλαβουμένους τὴν τοῦ

πάθους

παῖδας μεγάλως, τὰς τῆς ἐπιστολῆς ἴυγγας ἐπαινέσωμεν, καὶ τῷ φίλῳ χάριτας ὁμολογήσωμεν, ἣν ἡμῖν ἀπειργάσατο διὰ τῶν γραμμάτων διαθέσεως: Ἦν γὰρ τοῦτο μετὰ δόξης, τῆς ἀθυμίας τὸ ὑπερβάλλον τῆς συμφορᾶς ἀποσπώμεθα. ἥτις ἡμῶν τοῖς πένθεσιν ἐμβατεύσασα τὴν ψυχὴν, οὐδεμίαν συγχωρεῖ παραμυθίας παρείσδυσιν. οὐδ' ὄναρ ἀνεῖσα τῶν κέντρων τὴν μνήμην:

Ὑπόδειγμα.

Σὺ μὲν ὦ φίλῳ εἰκὸς παραινεῖς, καὶ τοῖς λόγοις ὡς φαρμάκοις ἐπιτηδείοις πειρᾷ καταχωννύειν μοι τὴν τοῦ πάθους δυσχέρειαν. ἀλλ' ἔστι καὶ ἰατρὸν μηδὲν ἐξανύειν χειρίους ἐπιφέροντα τῷ πάθει τὰ φάρμακα, ὁπηνίκα τὸ πάθος ἀνίατον. καὶ λόγον ὁμοίως μένειν ἄπρακτον, κἂν ᾖ μάλα δραστήριος. Ἐμὲ γὰρ οὐδ' ἂν Ἑρμῆς αὐτὸς ὁ λόγων πατὴρ πειρώμενος τῶν παθῶν μεταρρυθμίσειεν. οὕτως ἐγκαθέμην τῇ συμφορᾷ ὑποβρύχιος. καὶ πολλάκις τῆς λύπης ἀναδῦναι βουλόμενος, τὴν μνήμην ἔχω κατέχουσαν οἵων ἐστέρημαι. καί με ἀντιπαραβάλλει τὸ ἐνοπτρίζειν προσχηματίζουσα τοῦ παιδὸς ἴνδαλμα. ἂν ἐγὼ μᾶλλον ἡδόμην ὁρῶν, ἢ τὸν ἥλιον. φεῦ, τῶν ἐμῶν ὀμμάτων τὴν λαμπάδα ἀφῄρημαι. τὸ ζῆν μοι λοιπὸν, οὐδ' ὡς ζῆν ὅλως νομίζεται. Ὢς τραγικοῦ δράματος. ὦ δαίμονος ὄντος ἀλάστορος. Ἀλλὰ γὰρ περαιτέρω γράφειν οὐκ ἐπιτρέπει τὰ δάκρυα:

Ἄλλο.

Οὐ μετρίως ὁμολογῶ διετέθην περὶ τὴν ἀλόγως ἐκφοιτήσασαν κατ' ἐμοῦ ἐνεχθεῖσαν ψῆφον. καί με ἔδακνεν ἡ ὕβρις τῶν ἀσυνθέτων. μάλιστα ὅτι ὑπὸ τοιούτων, οἵγε καί τινα ἔχειν τοῦ δικαίου λόγον πιστεύονται παρὰ τοῖς πολλοῖς. Κἂν πορρωτέρω τὸ πρᾶγμα προήχθη, καὶ μείζω συνέβη τούτων καὶ χείρω, εἰ μὴ τὰ παρὰ τῆς ἱερᾶς σου συνέσεως γράμματα προσέθηκε ἀποδοθέντα μοι. ἃ ὥσπερ οἷά τινα ποικίλα φάρμακα, τὸ τραχύ μου τῆς ἀθυμίας καταλεάναντα, ἀπὸ τῆς ἀμετρίας τῆς δυσφορίας, ἐπὶ τὸ γαληνότερον τὴν ψυχήν με

κατέκρινεν. ἔμοιγε γὰρ οὐκ ἀνεκτὸν ὅλως ἔδοξεν, ὃν ὡς εὐεργέτην πρῶτον ἐτιμᾶτε, ὡς ἀδικοῦντα καταδικάζεσθαι· καὶ τὴν μὲν ἐπιείκειαν, ἐν ἄγοις τούτοις τάξει. τῇ δὲ κολακείᾳ, τὰ τῆς εὐσεβείας ὑπονέμειν πρεσβεῖα. ἄλλως τε καὶ κατὰ τῆς Ἰσοκράτους, βλασφημίαν ἡγοῦμαι τὰς διαβολάς. καὶ γὰρ ὡς ἐκεῖνός φησιν, οὐ πάντες εἰσὶν ἀληθείας θηραταί, δόξῃ δὲ μᾶλλον ἀγόμενοι τὰ πολλὰ κρίνουσιν. Ἀλλά σοι μὲν χάρις, ὅτι μοι τοῖς γράμμασι τὸ λυπηρὸν ὑπεκούφισας. ἐκεῖνοι δ' οὐκ οἶδα ὑφέξουσι πάντως τὴν δίκην, ὑπὲρ ὧν ἀδίκως κατ' ἐμοῦ ἐψηφίσαντο. ἐμοὶ δὲ (εἴ τις ἔστι λόγος τοῦ δικαίου παρὰ θεῷ) καὶ χάριν ἐλπίζω ἐκ τῆς τυχούσης ἔσεσθαι παρ' αὐτοῦ, ἀνθ' ὧν μου κατεψηφίσαντο. ὥς που καὶ αὐτὸς ἔφασκε περὶ τούτων τὰ εἰκότα. ἀλλὰ καὶ μετ' οὐ πολὺ τὰς σκιὰς παρελθεῖν καὶ τὰ [illegible] τούτοις ἐξελεγχθέντα, τῆς ἐπ' ἐμοὶ συκοφαντίας δημοσιευθήσεσθαι. κἂν γὰρ πρὸς καιρὸν ἐπικρατήσῃ τῇ ἀληθείᾳ τὸ ψεῦδος, οὐ μᾶλλον ἢ τὴν ἡλίου νεφέλη. ἀλλ' ἀναθεῖ πάλιν καὶ διάδηλος γίνεται, οὐχ ἧττον, ἢ ὥς φησιν ἡ κοινὴ παροιμία, ἐν ὑδατώδει φύσει τὸ ἔλαιον:

Περὶ Ἀποτρεπτικοῦ χαρακτῆρος:

Εἶχεν ἂν ὑποχρέοντας καὶ πρὸς ἀπόδειξιν, ὅσα περὶ προτρεπτικῆς ἀνωτέρω εἴρηται, τῷ προκειμένῳ τοῦ λόγου σκοπῷ. ὁ αὐτὸς γάρ ἐστι προτρεπτικοῦ χαρακτῆρος μέθοδος. πλὴν ὅτι ἐκ τῶν ἐναντίων λαμβάνεται. τὰ δὲ ἐναντία τῶν εἰδῶν ὧν εἰσὶν ἐναντία, πάντως ἀείδηλα. πρὸς σαφεστέραν μὲν ἤτοι διδασκαλίαν, ὀλίγα ἄττα καὶ περὶ ἀποτρεπτικῆς ἐν μέρει εἰπεῖν. Εἰ μὲν οὖν ἡ προτρεπτικὴ παράκλησίς ἐστιν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον ὅτι καὶ ἀποτρεπτικὴ ἔσται ἡ ἀπὸ τούτων διακώλυσις. καὶ ἀποτρεπτικὸς χαρακτήρ, ὁ ὑπὸ τῶν αὐτῶν ἀναστέλλων. Ὅθεν καὶ ὕλη ἀμφοῖν, πράξεις, λόγοι,

καὶ

ἀλλὰ προαιρέσεως. ἐκείνῳ μὲν, ἃ δίκαια, ξυμφέροντα, καὶ τὰ ἄξια. τούτῳ δὲ, τἀναντία, ἃ ἄδικα, ἀσύμφορα, αἰσχρὰ, δυσχερῆ, καὶ τὰ τοιαῦτα. Εὐνοίας δὲ πρὸς τοὺς ἀκροωμένους, καὶ ἐμπειρίας τῶν περὶ ὧν ὁ λόγος, σημεῖον σύμβολον παντὶ λόγῳ. προτρέψομεν δὲ ἢ ἀποτρέψομεν, καὶ ἀναζυγία. ὡς ἀποτρέψοντες εὖγε ἀμφιβάλλοντι, τὴν ἀρχὴν καταπαύσομεν. εἶτ' ἀφ' ὧν ἡ προσῆκε ταῦτα ἐκλεγόμενοι, ἐπὶ τὰς πίστεις χωρήσομεν. Καὶ πρῶτον ἀπὸ τοῦ προσώπου, πρὸς ὃ ὁ λόγος, τὰς ἐκείνου ἀρετὰς καὶ πράξεις πρὸ ὀφθαλμῶν τιθέντες, τὴν εὐγένειαν, σοφίαν, ἀξίαν καὶ εἴ τι τοιοῦτον ὑπομιμνήσκοντες. ὡς μή τι πρᾶξαι ἀνάξιον, ὥσπερ φυλακῇ προσιόντες λέγοντες. Εἶτα καὶ ἀπὸ τῶν προσώπων εἰ τύχοι ὑπὲρ ὧν ἡ ἀπόδειξις, τὴν ἀγαθότητα, τὴν φιλίαν, τὴν χάριν, τὴν ἔνδειαν, τὴν θλῖψιν, τὴν ταλαιπωρίαν, εἴ τι τοιοῦτον τύχοι προσὸν ἐκείνοις λαμπρῶς διηγούμενοι, καὶ αὐξήσομεν. εἰ δέ τις καὶ εἴη καθ' οὗ τὴν ἀπόδειξιν ποιούμεθα, τούτου ὠμότητα, μῖσος, πλεονεξίαν, καὶ εἴ τι παραπλήσιον ἐνδέχεται, πιθανῶς κατηγορήσομεν. Εἶτα ἀπὸ τῶν μελλόντων, ἐλπίδας, δόξαν, φήμην ἀγαθὴν ὑπισχνούμενοι προσιοῦσι, τιμὴν, ἔπαινον, πλοῦτον, ἡδονὰς, βίον γαλήνιον, καὶ ὅλως τὸ συμφέρον. μὴ δεξαμένῳ δὲ τὴν παραίνεσιν, ἀτιμίαν, ἔνδειαν, φόνους, ἐνοχλήσεις, καὶ ὅλως τὸ ἀσύμφορον, ἀπό τε προσδοκίας τῶν φίλων, καὶ διψώντων ἐλπίδος, ὡς ἀνωτέρω εἴρηται. Ταῦτα δὲ καὶ αὐξήσομεν παραδείγμασιν, ἐκ παλαιῶν μὲν, μάλιστα δὲ τῶν οἰκείων, καὶ οἷς ἐκεῖνος τυγχάνει ἐνάμιλλος. ἔκ τε τοῦ ὁμοίου καὶ ἐναντίου καὶ ἐνδόξου, καὶ τἄλλα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται:

Ὑπόδειγμα.

Εἰ μὲν ἀεὶ πολλοὶ τὰ σὰ ἐπαινούμενοι, ὁ φθόνου πάντως, ἢ εὐηθείας χάριν ἂν ἔφυγον παρὰ τοῖς εἰδόσι τὰ καθ' ἡμᾶς. νῦν δὲ μὲν, τῶν ἀμοιβαίων εὐεργετημάτων

ἕνεκα καὶ τῆς ἀνέκαθεν συνηθείας, ἣ πρὸς ἡμᾶς σφόδρα διατέθειται συνῆψεν ἀλλήλοις. τὸ δὲ καὶ μᾶλλον, ὅτι κοινὰ εἰδέναι οἱ πολλοὶ τὰ ἀμφότερα. καὶ τὰ θαυμάζουσί τε καὶ ὡς ὁμοτίμους ἔχοντας, ἀναμάσσουσιν ὡς εἰκὸς τὴν ἑτέρου. ὅθεν σοὶ καὶ σοῦ τολμηρᾶς δόξης ἂν μεταλαβεῖν τῆς παῤῥησίας. λέγει μὲν οὖν αὐτοῦ παρ᾽ ἡμῖν ἡ φήμη, μᾶλλον δὲ συχνοὶ τῶν αὐτόθεν ἀφικνουμένων, σὲ μὲν τὸ καλὸν χαίρειν φράζοντας, ἀλλὰ τὸ πρεσβυτέρου ὅλως καταχρῆσαι ἀξίωμα. ὅπερ οὐκ ἂν οὐχὶ ἐπαινῶ γε, εἰ μὴ περὶ τὸ παλαιὸν τῶν εὐαγγελιστῶν εἶχε τὸ ἀξιώματος. Ἔστι γὰρ τῷ ὄντι καὶ συνῳδὸν τῇ σῇ καὶ δόξῃ ἀνάξιον, τοῖς τε θείοις νόμοις ἀντιβαῖνον, καὶ οὐδὲ περὶ τοῖς πολλοῖς ἐπαινούμενον. καὶ μάλιστα θρόνος τοιοῦτος ἐν ᾧ ἐπιβαλεῖν σε λέγεται. ὃς πρὸς τὸν κορυφαῖον ἀναφέρεται (?) ἕως τὸν θρόνον καθήκουσι, καὶ οἱ ὑπ᾽ αὐτὸν τελοῦντες, ἅπαξ καὶ δὶς ἀνακαθέντες παρ᾽ ἐπισκόπων, ὁμοίως πρὸς ἅπαντας ἀπαρχῶς διάκεινται. τὸ λειτούργημα ἴσον μὲν καὶ παρ᾽ ἑαυτοῦ θεῖον. ἀλλὰ τέως νῦν εἰ οἷς μακρόν τι τοῖς μέτεστι, κἂν τοῖς ἐχθροῖς εὔξαιντο. ἐπεὶ θεῖα καὶ ἀνθρώπινα μονονουχὶ φανερῶς ἀφιᾶσι, κωλύουσί τε καὶ ἀναστέλλουσιν ἕκαστον τῆς ἐν τῇ ἀκριβείᾳ ἐκκλησιαστικῆς διοικήσεως, ἵνα μὴ λέγω δουλοπρεποῦς τυραννίδος. ὥστε οὐκ εἰκὸς περὶ τοὺς πολλοὺς ὀφλήσομεν γέλωτα, εἴπερ ἂν τοὺς ἄλλους λόγοις δεῦρ᾽ ἀεὶ παρρησιάσομεν ἀπέχεσθαι, τούτοις αὐτοὶ νῦν ὀφθείημεν ἁλισκόμενοι ἔργοις; καὶ πῶς ἡ μανία σαφῶς προὔπτοις ἑαυτὸν δεινοῖς ἐμβαλεῖν, καὶ ταῦτα μηδεμιᾶς οὔσης κατεπειγούσης ἀνάγκης, ἢ ὠφελείας ἐλπίδος; εἴπερ γὰρ εὐηθὲς ἀρχὴν σπουδῆς τῆς ἐπιμελείας καὶ τιμῆς προέξενον, οὕτω διώκειν προσῆκε τὴν ἐπιβλαβῆ καὶ ἀτιμίας πρόξενον. καὶ τὸ μὲν, τῶν ἄγαν τολμηρῶν. τὸ δὲ, τῶν λίαν δειλῶν. καὶ ἀμφότερα μετὰ τοῦ κανόνος ἐκπίπτοντα: Εἶτα πῶς εὔλογον, ὀνόματος χρυσοῦ προεδρίας τῆς μεγίστης ἀλλάξασθαι τῶν συμφορῶν,

ἢ ὁ προδεδωκὼς πᾶσι, μηδὲ τὸν σμικρότατον ἢ φιλοπονώτατον, ὑπομεῖναι δυνάσθαι τῶν πραγμάτων ἐλθεῖν εἰς ἔννοιαν. ὡς νῦν ἄγει τὰ τῆς ἐκκλησίας; τί γὰρ ἔχειν λέγεις ἐνταῦθα χρηστὸν λέγεις; ἐπισκόπους γὰρ τὰ νῦν οὐδὲν ὄφελος, ἀλλ' ἰσχύος, ἀλλὰ χρημάτων, ἀλλὰ δόξης καὶ δυναστείας; ὧν εἰ καὶ σμικρά σοι μέτεστιν, ἀλλὰ τοῦ κρίνεσθαι κατὰ ταῦτα μηδὲ ἔξεις ἢ μετρίως. πρὸς δὲ ταύτοις, τοῖς μὲν φίλοις ἢ τὴν τυχοῦσαν [illegible] λύπην. ὥσπερ καὶ τοῖς ἐχθροῖς ἢ μετρίαν τὴν ἡδονήν. εἰ τί ἢ συμβῇ σοι ὃ λέγουσιν, ἐφ' ᾧ σε [illegible] εὐδοκιμεῖν ὄχλῳ θορύβων τῶν ἐκκλησιαστικῶν. ὥσπερ ἐν πόλει φασὶ τῆς μυῶν. Ἀλλ' εἰ ταύτην ὑποστείλαιο τὴν ἐγχείρησιν, ἀπαλλάξεις εὖ οἶδα τούτων ἁπάντων σαυτόν. κἂν τὸ χρεὼν ἐπέλθῃ, ἵνα μὴ τἄλλα λέγω, τῶν ἐκεῖσε κριτηρίων, ἵνα μὴ εἴπω κολαστηρίων, ἐλεύσῃ τὰς τιμωρίας, ἃς τοὺς προεστῶτας ἐκδέχονται. καὶ γὰρ ὁμοίως οὐκ ἀνέγκλητον, τόν τε μόλις σωζόμενον ἐν λιμένι διὰ τὴν τοῦ χειμῶνος τραχύτητα, ὅλοις ἄραντα τοῖς ἱστίοις, μεγάλα πελάγη κατατολμᾶν. καὶ τὸν μόλις καθ' ἑαυτὸν ἐφ' ἡσυχίας φιλοσοφεῖν δυνάμενον, ἄλλων ἐπιχειρεῖν προστασίας. δι' ἧς [illegible] ἑαυτὸν σὺν τοῖς ἄλλοις ἀπολέσοντα. εἰ γὰρ τῷ ἠδικηκότι, κἂν μὴ εἰδῇ, ὡς καὶ εἰδότι ἡ δίκη ἀπόκειται, τί χρὴ λογίσασθαι τῷ καὶ εἰδότι; ἢ πόσα παρὰ τὰ ἐπιτίμια, καὶ ὅσα τοῖς δι' ἀνεπιστασίαν ἐξολοθρεύουσιν ὀφείλεται. ἐκ γὰρ ὧν τῶν λογίων φησὶν ὁ Θεὸς πρὸς τοὺς ποιμένας. Ἐὰν ὁ ἄνομος μὴ ὑποστραφῇ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρὸς ὑμῶν ζητήσω. σοὶ δὲ πῶς ἔσται ὑποστρέψαι τὸν ἄνομον τῆς πονηρᾶς ὁδοῦ, ὅλος ἐν ἀνομίαις καλινδούμενος; εἶτα δύ' που τοὺς νῦν ἐπισκόπους περὶ τὴν πίστιν ὁμολογεῖται; εἰ μὴ εἴγε οἶδεν τι τὸ τῆς παροιμίας, ἄλλους θεραπεύειν τοὺς ἰδίοις βρύοντας ἕλκεσι. τίνα γὰρ ἂν παρρησίαν ἔχοι πρὸς Θεὸν διαβὰς ὅλου δήμου προσεύξασθαι, ὃς οἰκείων ἕνεκα πλημμελη-

μάτων δεῖται ἡμέδαπῇ δημώτατος ἦ. οὐδ᾽ ἂν ἐκείνου φαίης, ποίου ἀνάγκη ἐπίσκοπον ἐφιστάναι τῇ ἐκκλησίᾳ. οὐκ ἐπισκό- ψουσι τὴν θεοῦ στρατεύονται. μελλήσαντας πάντων προεδρίᾳ, οἷς μέλλει προεδρίας. ἀλλ᾽ οὐδ᾽ ὅτι καλὸν ὁ ἐπίσκοπος, διὰ τοῦτο καὶ τὸν τυχόντα πρὸς τούτων ἄξιον ἀποτελεῖσθαι. τὸ γὰρ καλὸν οὐκ ἔστι καλὸν κατὰ τὴν οὐσίαν, εἰ μὴ καλῶς γίνεται. ἐῶ λέγειν ὅτι σου τοῦ μακροῦ πόνου ἐν τῇ περὶ φιλοσοφίαν χρείᾳ μείζω ἀποδείξεις καταβεβλημένους. οὐδὲν γὰρ ἄλλο ἀρχαὶ καὶ προεδρίαι, ἢ ὄχλος καὶ βαθὺς σκότος πρὸς τὴν τῆς ἀληθείας κατάληψιν. καὶ ὅρα μὴ ταῦτα πάθῃς τῷ αἰσωπείῳ κυνί. ὃς ἀντὶ τῆς σκιᾶς, τὸ ἀληθινὸν ἀπώλεσε βρῶμα:

Τύποι τῶν ἀναφερομένων εἰς τὸ δικανικὸν γένος.

Περὶ Κατηγορικοῦ.

Κατηγορία μὲν ὡς Ἀριστοτέλης ὁρίζεται, ἁμαρτημάτων ἐστὶν ἢ ἀδικημάτων ἐξάγγελσις. ὅθεν καὶ κατηγορικὸς λόγος, ὁ τούτων αὐτῶν ἐξαγγελτικὸς ἂν εἴη. ἀμφότερα δὲ τά τε ἀδικήματα, καὶ τὰ ἁμαρτήματα, περὶ πράξεις λόγους τε καὶ προαιρέσεις συμβαίνειν. Ἀλλ᾽ ὅταν μὲν ἐπὶ πονηρίᾳ τινὰ ἐγκαλοῦμεν, ἄδικα ταῦτα, καὶ τοῖς κειμένοις ἀντιβαίνοντα νόμοις ἀποδεικτέον. Ἐπειδ᾽ ἂν ἐπὶ βδελυρίᾳ, καὶ αἰσχρά, καὶ ἀηδῆ, καὶ ἀσύμφορα, καὶ τὰ παραπλήσια, τοιαῦτα δεῖ ὁ χαρακτὴρ πρὸς τὸν ψεκτικὸν ἀπονεύσει. Ἡ τοίνυν πρὸς φίλους κατηγορία ὑφειμένη τε εἶναι βούλεται καὶ ἀμβλεῖα. τὸ μὲν αὐστηρὸν παραιτουμένη τῶν λόγων καὶ ἐναγώνιον. πρὸς δὲ τὸ μειλιχιώτερον ἀποκλίνουσα. ὥσπερ αὐτὴν κατασκεδάσουσα, οὐχ ὅπως τὸν ἀδίκως καὶ παρα- νόμῳ

νόμῳ κεφαλαίῳ. ἀλλὰ καὶ τῷ ἀπρεπεῖ, καὶ ἀσυμφόρῳ καὶ τοῖς ὁμοίοις.

Ἀγγέλλοντες μὲν οὖν τῆς κατηγορίας ἀρξόμεθα, ἐκείναις κεχρημένοι ταῖς φωναῖς, αἷς δῆγμα ψυχῆς ἐμφανὲς εἴωθε γίγνεσθαι. τούτοις ἐξ ὑπογύου τὸ πλημμεληθὲν τῷ φίλῳ ἐπισυνάψομεν, δεικνύντες ἀπᾷδον τῇ τε κοινῇ φύσει καὶ τοῖς ἁπάντων δόγμασιν ἀντικαθιστάμενον, καὶ φιλίας δεσμὸν ἀναιροῦν, τὰ μὲν ἀπὸ τοῦ πράγματος, τὰ δὲ ἀπὸ τοῦ προσώπου. τουτέστι καθ' οὗ ἡ κατηγορία. ὅτι εὖ προσῆκον ἦν. οὕτω πρὸς ἐκεῖνον τοιούτῳ γε ὄντος, καὶ εὔνως ἡμῖν ἔχοντος. φιλίας δὲ χάριτας, εἰ τύχοι καὶ ὑπομνήσεις τὰς πρότερον, ἢ καὶ πατρῴας ὑπομνήσομεν, καὶ ὡς ψευδόμενον ταύτας κατεπιπασόμεθα. καὶ μάλιστα ὅτι ἑκὼν καὶ ἐκ προνοίας. Τὰ δὲ πρὸς ἡμᾶς αὐτῶν, ὅτι οὐδὲν οὐδαμῶς ἴσμεν ἐκεῖνον δεινὸν εἰργασμένοι. ἀλλὰ καὶ τὰ ἐκείνου περὶ πολλοῦ ποιούμεθα. καὶ δεῦρ' ἀεὶ ἐξαιρέτῳ φιλίᾳ γεραίρομεν. Εἶτα καὶ ἀπὸ τῆς φιλίας ἣ τοὺς φίλους μίαν ψυχὴν ἐν διαφόροις σώμασιν εἶναι ἐθέλουσι, χαλεπῇ γ' ἂν φίλον παρὰ φίλου ἀδικεῖσθαι ἀνάσχοιτο. καὶ πρὸς τὸ ἀκραιφνὲς τῆς ἑτέρου ἐπαινουμένης φιλίας τὰ ἐκείνου παραβαλοῦμεν, συνάγοντες ὡς ἀπᾴδουσι. Καὶ ἀπὸ τοῦ ἀσυμφόρου. ἵνα τι γένηται φύσομεν, καὶ ὡς καρπώσαιτο τῆς περὶ φίλους ἀδικίας τὸ χρήσιμον, ὅτι μὴ τὸ μηκέτι πιστεύεσθαι τοῦ λοιποῦ λέγειν, καὶ πρὸς φιλίαν ἀχρεῖος λογίζεσθαι. Τέλος δὲ, οἷς παρὰ τῶν δυσμενεστάτων, ἢ ὠμοτάτων πεπόνθασιν ἄνθρωποι τὰ ἐκείνου παρεξετάσομεν. ὧν μέν τοι καὶ μείζονα συναγαγεῖν πειρασόμεθα. Ἐπιλόγῳ δὲ χρησόμεθα, ἢ ἀπειλοῦντι τοῖς ἴσοις ἀμείψασθαι, ἢ δυσωποῦντι, ἢ ἄλλως πως ἀντιτείνοντι :

Ὑπόδειγμα.

Οὕτω τοῖς φίλοις ὑπουργοῦσιν οἱ φίλοι; τοιαύταις τοὺς εὐνοοῦντας ἀμείβονται χάρισιν; εὖγε, ὡς ἀπέχω τὴν χάριν. καὶ πῶς οὐκ ᾐδέσθης, ἣν σαυτῷ προσήκειν νομίζεις δόξαν, ἀνδρὸς δῆθεν σπουδαίου, καὶ παιδείας τὰ πρῶτα φέροντος, ἀλλ' ὅλας συγκροτῶν θεατροκοπίας ὕβρεσιν ἐνετρύφας σκωμμάτων τῶν πρὸς ἐμοῦ, παρεμμελωδῶν ταῦτα παρὰ τὸ δίκαιον, καὶ τοῖς πολλοῖς παρέχων εἰς τὰς κατ' ἐμοῦ βλασφημίας ἐφόδιον; καίτοιγ' ἐχρῆν, εἴ τί που καὶ παρημέλητο, μάλιστα μὲν κατέχειν ἀνέκπυστον. εἰ δὲ μή, ἀλλά γοῦν ἀνεπίληπτον πειρᾶσθαι διασῶσαι. ὅπερ ἦν εὐνοοῦντος. μὴ ὅτι καὶ τῶν κειμένων καλῶς προσκατηγορεῖν ἀναιτίως. ὃ καὶ τῶν ἀλόγων ἐστὶν ἀλογωτέρου φρονήματος ἔλεγχος. κἀκείνοις γάρ που ἐνυπάρχει παρὰ τῆς φύσεως φιλεῖν τε τὰ ὁμοειδῆ, καὶ σαίνειν φιλοφρονοῦσι καὶ πιθασσεύεσθαι. Σὺ δὲ καὶ φύσεως ὑπερλελάκτικας ὅρους, καὶ φιλίας ἁπάσης θεσμούς. οἱ τοὺς φίλους μηδ' ἐννοεῖν τὸ προσάπτειν κατ' ἀλλήλων ἀνέχονται. καὶ ταῦτα γίνεσθαι [illegible] φιλοτιμούμενος, πράττων, καὶ λέγων, ὅσα φέρει πρὸς λοιδορίαν τῶν φίλων. ὃ καὶ διαφερόντως ἐστὶ μοχθηρίας. ἀκρασία γὰρ κακίας ἐς ταῦτα προάγει, ἃ κἂν Σίσυφος ὤκνησε, κἂν παρητήσαντο Κύκλωπες, οὓς ἀθεμίστους οἶδε καὶ ὑπερφιάλους ἡ ποίησις. οὐδὲ γὰρ ἂν ὁ Πολύφημος τοὺς Ὀδυσσέως ἐλυμήνατο φίλους, εἰ μὴ τὰ ἐς θοίνην αὐτῷ ἐχρησίμευον. σοὶ δὲ χρηστὸν μὲν ἄλλο ἐκ τέτων οὐδὲν προσέσθαι, καὶ μάλα σαφῶς οἶδα. ὅτι μὴ τὸ πᾶσι γενέσθαι ἐν πονηρίᾳ περίβλεπτον. καὶ καλὸν ὥσπερ δυσπόρφυτον ἀποσπάζεσθαι:

Ἀπάντησις πρὸς τὸν Κατηγορικόν.

Ἡ πρὸς τὸν Κατηγορικὸν ἀπάντησις, καὶ ἀπολογητικὸς χαρακτὴρ λέγοιτ' ἄν. Ἔστι δ' ἀπολογία (ὡς τῷ Ἀριστο-

τέλει

πάλιν ὠνήσατο) ἁμαρτημάτων ἢ ἀδικημάτων κατηγορηθέντων ἢ καθ' ὑποπτευθέντων διάλυσις. ἣν καὶ τελείᾳ μεθόδῳ συνεστάναι φησὶν ὁ αὐτός. Ἡ γὰρ ἀποδεικτικὸν τῶν ἀπολογουμένων, ὡς οὐδὲν τὸ παράπαν τῶν κατηγορουμένων ἔδρασεν. ὃ πιστοῖ τοῖς ἀτέχνοις κατάλληλον παραστάσει, καὶ τοῖς ἐν τέχναις ἐπιχειρήμασιν. Αἱ μὲν οὖν ἄτεχνοι πίστεις, ἢ ὅρκοι εἰσὶν, ἢ συγγράμματα. μάλιστα δὲ μαρτυρίαι αἱ ὑπὸ τῶν αὐτόπτων θεασαμένων, ἢ ἄλλως αἰσθομένων προσενεγκεῖν δέον. Τῶν δὲ ἐκ τῆς τέχνης ἐπιχειρημάτων, ἡ ἀπορήσει τεχνῶν. ἢ ἀπὸ τοῦ ἐγκλήματος καὶ τῶν ἐκείνου περιστατικῶν. ἢ ἀπὸ τῆς ἰδίας ἀναγωγῆς καὶ ἐπιεικείας, ὡς οὐδέποτε τοιαῦτα πρακτικῶς ἐφωράθη. ἀλλὰ καὶ τοὺς ἐπιχειρήσαντας ἀπέπαυσεν. ἢ ἀπὸ τῆς μοχθηρίας τῶν κατηγορησάντων, ὅτι φθόνῳ ἢ μίσει ἐπαγόμενοι, ταῦτα προπετῶς καὶ ἐκθέσμως ἐσκευωρήκασιν. Εἰ δὲ οὐκ ἔστιν ὅλως λαθεῖν, ἀλλὰ τὸ πραχθὲν, δίκαιον, ἔννομον, συμφέρον τῇ τε πόλει κοινῇ καὶ ἰδίᾳ τοῖς φίλοις, καὶ αὐτῷ μάλιστα τῷ ἐγκαλοῦντι, εἴπως ἐνδέχεται ἀποδείξει. ὃ καὶ ἐμπεδώσει ἐκ τοῦ παραδείγματος, εἴποτέ τις τοιοῦτον ἢ ὅμοιον πεπραχὼς εὐδοκίμησε. καὶ ἐκ τῶν ἄλλων περιστατικῶν. ἐξ οἵας γνώμης ἐπράχθη λέγων, καὶ ὁ πηνίκα, καὶ ὑπὲρ ὅτου, καὶ τὰ ὁμοειδῆ ταῦτα. Ἢν δὲ τὸ πραχθὲν ἀδίκημα προφανὲς ᾖ, καὶ μᾶλλον ἢ ὑπὸ τῆς τῶν λόγων δεινότητος ἐλεγχθῆναί τε καὶ μεταμορφωθῆναι, ἐπὶ τὴν συγγνώμην καταφευκτέον. τάς τε αἰτίας εἰς τύχην, εἰς ἄγνοιαν, εἰς ὀργὴν, ἔρωτα, καὶ τὰ τοιαῦτα ἀνακτέον. καὶ ὅλως ὅτι οὐκ ἐκ προνοίας οὐδ' ἑκοντὶ πεπρᾶχθαι δεικνῦναι πειρατέον. τὸ δὲ τοιοῦτον, οὐ τῷ πράξαντι ἴδιον, ἀλλὰ καὶ αὐτῷ δὴ τῷ διώκοντι, καὶ πᾶσιν ἀνθρώποις κοινὸν ἀτύχημα. Πέρας δὲ καὶ παραδείγματα ἐκθετέον. ἐν οἷς οἱ τὰ παραπλήσια ἢ καὶ δεινότερα πεπονθότες, λαμπρῶς ἅμα καὶ μεγαλοπρεπῶς περὶ τοὺς ὑπαιτίους ἐφιλανθρωπεύσαντο. τῆς τε συνέσεως καὶ καλοκαγαθίας

καὶ

ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΛΕΩΣ τοῦ ΑΘΗΝΑΙΟΥ

Ἐπιστολὴ πρὸς τὸν παναγιώτατον Κωνσταντινουπόλεως Πατριάρχην, πρότερον δὲ Ἀλεξανδρείας Κύριον Κύριλλον.

Θειότατε καὶ θεοπρόβλητε δέσποτα οἰκουμενικὲ Πατριάρχα εἴη σου τὸ ἔνθεον κράτος τῆς περισσοβίας ψυχῆς ὑγιεινότερον καὶ πάσης ἐπηρείας ἀνώτερον.

Τέρπει καὶ ζῶα καὶ φυτὰ πάντα θάλπει τὸ τῆς ἡλιακῆς ἀκτῖνος προσβάλλον ἀπαύγασμα σεβασμιώτατε δέσποτα. τὰ πολλὰ δὲ καὶ εἰς φύλλων παρεγχύματα, χυμικὰ πολὺ ἐν αὐτοῖς διαχέειν ἐπὶ τὸ ἱλαρώτερον. καὶ ἔστιν ἡλίου (ὡς λέγεται) ὄντι θεαματικώτερον ἐν τοῖς ὁρωμένοις οὐδέν, ἀλλὰ δημοσιώτερον. Εἰ δὲ τὸ αἰσθητὸν τοῦ ἡλίου ἀπαύγασμα τοιοῦτον ἐστὶ καὶ κρίνεται, ὁ ποῖον χρὴ νομίζειν τὸ νοερὸν φῶς ἡλίου περιαστράπτον ψυχῶν θαυμαστῶς ἀπὸ ὁρίων αἰωνίων περιπέμπειν; πόσης ἐκεῖνο θυμηδίας προξένειν αἴτιον τοῖς γ' ὡς ἀληθῶς ἐν φωτὶ περιπατοῦσι, καὶ υἱοῖς ὀνομαζομένοις φωτός; Ἀνατέλλει γὰρ φησὶ τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνως γίνεται πρόξενον. Ἀλλὰ φῶς μὲν πηγαῖον καὶ ἄχρονον ὁ ἱερὸς οἶδε λόγος, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. δεύτερον δὲ

φῶτα

φῶτα καὶ τοῦ πρώτου φωτὸς λειτουργικῶς ἐπὶ γῆς μυσταγωγοῦνται, οἱ τῆς ἐκκλησίας ποιμένες καὶ πρόεδροι. ἃ καὶ φωτίζεται μὲν παρὰ τοῦ πρώτου. φωτίζει δὲ τοὺς ὑποβεβηκότας τῇ φωτιστικῇ μυήσει τε καὶ τελεσιουργίᾳ. Ἐν τούτοις ἔμελλε μὲν ἡμῖν οὐκ ἀμυδραῖς ἀκτῖσιν ἀναλάμψαι σου ἡ σεβασμιότης, ἐν πολλῷ τῷ χειμῶνι καὶ ζόφῳ ἀπορουμέναις. μᾶλλον δ᾽ ἐπ᾽ αὐτῷ τούτῳ καταπεμφθῆναι, ἐφ᾽ ᾧ καὶ χειμῶνα καταλύσῃ ψυχρότερον, καὶ σκότος ἀγνοίας διασκεδάσειεν. Ἀλλ᾽ ἡ μέλλουσα ταύτην τελεταρχικὴ τοῦ πνεύματος χάρις ἐπὶ τὴν ἀκροτάτην ἐνιδρύσειν περιωπήν, πολὺ πρότερον ἐπὶ τὴν ἀκρώρειαν τῆς ἀρετῆς προανεβίβασεν, ὡς εἶναί σοι τὸ ἀξίωμα, μὴ μόνον θεαρχικῆς ἐλλάμψεως δοχεῖον, ἀλλὰ καὶ ἧς κατεκόσμησεν ἀρετῆς κατάλληλον. Τεκμήριον δὲ τούτου σαφὲς, καὶ τοῖς πᾶσι βασανίζουσιν ἀναντίρρητον. οὔτε γὰρ ἂν ἡ πρόνοια ἠνέγκῃ κακίας ἀναμιγείσης, οὔτε μόνον ἀρετῆς φύσιν ἀχρείαν καὶ ἄπρακτον (εἰ μή τι πρὸς αὐτὴν ἀναβιβάζεται) βούλεται γὰρ αἰεὶ ἐπὶ τὴν λυχνίαν τὸν λύχνον τίθεσθαι. καὶ πάντων πάσαις χερσὶ καὶ γνώμαις ὑπεραρθῆναι ἐν τῷ ἀξιώματι, θείας δὲ τὴν ἄσπιλον μοίρας προσαγαγούσης ἤδη ἐφ᾽ οἷς καὶ κατέπεμψε λειτουργήμασι. Τὸ δὲ δὶς ἤδη, ἵνα καὶ μᾶλλον ἐπισφραγίσηται τὸ ὑψηλὸν τῆς ἀρετῆς, καὶ μηδὲν εἴη ἀθέατον τῶν ἀνατεταμένων πρὸς θεὸν ἀκτῖσι τῆς ὑμετέρας συνέσεως. οἷον γὰρ ἄλλον ἐπὶ γῆς ἥλιον, τοῦ πρώτου τῆς δικαιοσύνης ἡλίου ἀπείκασμα, ἐστήριξε μὲν φθάσασα ἐπὶ τὴν πρώτην τῶν θεοδρόμων κύκλων περιωπήν, τὴν μεσάτην ἀπαγγείλασα τῶν ἄλλων φωστήρων πορείαν. ἀλλ᾽ ἐπὶ μεσημβρίαν ἀνακλίνας, τὰς κυανέων ἀνδρῶν πόλεις καὶ χώρας καταυγάζει, βορείοις πανελλήνεσι φαίνων. νυνὶ δὲ ὑπὸ τῆς φαεινῆς ἀνάγει ἰσημερίας, τὸ καλὸν ἡμῖν ἀνέτειλας ἔαρ. ἔαρ, ὃ ψυχὰς ποιεῖ καλλιθάλπειν, μεσονυκτίου πηγὰς τῷ ψύχει τὸ πρὸς τὸ κα-

λόν

ἀνδρὶ σοφῷ τὴν διάνοιαν προσέχοντα; πῶς εἶδος φιλοσόφου, ὅτε σαυτὸν ἐπαγγέλλῃ; εἰ τὸν φίλον ἄλλον ἑαυτὸν εἶναι βούλονται; οἷς πάντα παιδεύει καὶ παιδεύουσι τοῦ φιλοσοφεῖν τῶν ἀρετωτέρων; σὺ δ' ἀλλ' ἴσως μετὰ τῶν ἄλλων ἐπιλέλησαι καὶ φιλοσοφίας. τὸ δὲ πλέον, ὅτι καὶ σαυτοῦ. ἀπηχεῖς γὰρ τὸ ὁμηρικὸν ἐκεῖνο, Ἀλλοῖός μοι νῦν φαίνῃ ἢ τὸ πάροιθεν. εἰ γὰρ ἔτι καὶ ἦν τὸ κωλῦον εἰς ἔργον τὰς ὑποσχέσεις ἀγαγεῖν, ἀλλὰ γράμμασιν ἀσπάσασθαι οὐδὲν ἂν ἦν ἐμποδών. εἰ δέ τινα πρὸς ἐμὲ φιλίαν ἀπέχθειαν ἔχεις, αὐτὸ γοῦν ἀλλὰ τοῦτο δήλωσον ἐπιστείλας:

Περὶ Ὀνειδισμοῦ.

Ὄνειδος μὲν λέγεται εὐεργετημάτων προφορὰ ἐπὶ ἐλέγχῳ ἀχαριστίας. Ὀνειδιστικὸς δὲ τύπος ἐπιστολῶν, ᾧ χρώμεθα, τοὺς φίλους ἐλέγξαι βουλόμενοι, ὡς χάριτος καὶ εὐεργεσίας ἀμνήμονας. ἀλλ' ὁ πρὸς φίλους ἔλεγχος, οὐχ οὕτως ἐστὶν ἐπιτεταμένος, ὡς ἐν τῶν κατηγορίαις παρὰ τοῖς Ῥήτορσι τεχνητεύεται. ἀλλ' ἀνειμένος ὅτι πρὸς φίλους, ἵνα μὴ τῆς φιλίας ζημιωθῶμεν. Ἀγάλλαι μὲν οὖν ἔξεστιν ἐν ἀρχῇ, καὶ ὅτι διαπορηθῆναι τὴν παρ' ἐλπίδας προσαχθεῖσαν παρὰ τοῦ φίλου. αὐτὸ δὲ τὸ προσαχθὲν ἐκθήσεις ὡς οἷόν τε πρὸ ὀφθαλμῶν ἐκθέμενον, τὰ πρὸς ἡμῶν ἐκείνῳ εὐεργετημένα ἀναμνήσαντες. καὶ δεῖξαι τῇ ἐκείνου παιδείᾳ, ἢ εὐγενείᾳ, καὶ τοῖς τοιούτοις ἀνάξιον τὸ προσαχθὲν δείξομεν. Τελευταῖον δὲ, καὶ παραδείγμασιν, ἐξ ὧν ἔπαθον ἕτεροι παρὰ μὴ φίλων, μηδὲ εὐεργετηθέντων αὐξήσομεν. Εἶτα βραχεῖ ἐπιλόγῳ εἰς μνήμην τῶν εὐεργετημάτων παρακαλέσομεν, καὶ τῶν πλημμεληθέντων διόρθωσιν. ἔξεστι δὲ καὶ ἄνευ ἐπιλόγου χρήσασθαι τῷ τοιῷδε τύπῳ, ἔοικα περιέτρεψεν τὸ ἐν ἡμῖν πάθος ἐμφανίσαι βουλόμενοι:

Τοῦ-

Ὑπόδειγμα.

Ἆρ' ἐς τοσοῦτον δυνάσται τύχαι; ἆρα τοσοῦτον μεταβάλλουσι γνώμας ἀξίας; Νικόβουλος ἐπιλελησμένος Γρηγορίῳ, καὶ τίς ἂν ἄλλος ἔσται περὶ φίλους ἀξιόπιστος; τῆς μνήμης χαρίτων τῶν περὶ φίλων, εἴγε Νικοβούλου ἐπιλέλησμαι Γρηγόριος; ὃν ἐγὼ οὐδὲ θανόντα τῶν πρὸς ἐμοῦ εὐεργετημάτων ἐπιλαθέσθαι ᾤμην. Ἀλλ' αὐτὸς ὦ φρουρὰ μόλις ὅ φασιν ἄκρῳ δακτύλῳ τῶν περὶ τὴν ἀρχὴν ὄγκων ἀπογεύσασθαι ἔφθης. καὶ οὐ μόνον φίλων ἐπιλάθου τῶν πάλαι, ἀλλὰ καὶ τῶν μάλιστα εὐεργετηκότων σε. διὸ ὅτι σου τὸ μνήμης ἀπέβαλες, ὡς μηδὲ ἴσως τὸ περὶ σὲ γῆ. Συνῆν σοι παρ' ἡμῶν Δημόφιλος, ὃν ὁμιλεῖν εἰ καὶ συμπαρόντων ἐβούλετο, τῶν αἰτουμένων δι' ἐμοῦ τυχεῖν περὶ σοῦ. σὺ δὲ τοσαῦτα ἐμοῦ καταλογήσας, ὡς οὐδὲ κἂν ὅτι δικαίων ἐδεῖτο, δι' αὐτὸ τοῦτο ὑποδοχῆς ἀξιῶσαι περὶ σοῦ. εἶτα δὲ καὶ συνῆκε, τί, εἰ μὴ φίλοι, ἀλλὰ γοῦν δικαίων κριτῇ. τοιαῦτα περὶ σοῦ προσεδόκων ἐγώ; ὅπως οἱ φίλοι τοὺς εὐεργετοῦντας ἀμείβονται; ταῦτα κἂν Φάλαρις ἤνεσε, κἂν Διονύσιος ὁ ἐπὶ τυραννίδι βεβοημένος ᾐδέσθη. πῶς ἐπελάθου τῶν χρόνων καθ' οὓς ἐνετρύφας εὐεργεσίαις τῆς παρ' ἐμοῦ; πῶς ἀπημέλησας τῶν ἐπιδημιῶν, ἐξ ὧν πολλάκις σέσωσαι; ἆρά σου τὸ μνήμης ἀπερρίφη αἱ περὶ τοσούτων καὶ τηλικούτων ὑποσχέσεις; ἢ καὶ τούτων μικρὰ γοῦν ἔτι περιμένει τῇ φαντασίᾳ ἐνδιάλειπτα; καὶ τέλος αὐτὴν ποτὲ ὀξέως διαλῦσαι τὰ πρὸς φίλους ὡμολογημένα, ὅτι καὶ περὶ τῆς τύχης τὸ δύνασθαι ἐλέγχει. Ἀλλ' ἐπισχοῦ τὸν ὄντα. κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ:

Τέλος τῶν ἐπιστολικῶν τύπων.

καὶ ἐπιεικείας τὸν διεώκοντα ὑπομνηστέον, καὶ εἰς συγγνώμην παρακλητέον :

Ὑπόδειγμα.

Καὶ φιλίαν ἀδικεῖς οἷς δυσχεραίνεις, καὶ τὴν σαυτοῦ πρᾳότητα. τὴν μὲν ἤδη πονηρὰς ὑποψίας παραιτεῖσθαι τοὺς περὶ φίλους. σαυτὸν δή, οἷς ῥᾳδίως περιάγει τὸ σχῆμα ζημιούμενος. τὸ δ' ἐμόν, ἴσως οὐδ' ἐν λόγου μοίρᾳ παρὰ σοί. καίτοιγ' ἐχρῆν· μηδ' ὅτῳ φιλαιτίως ἔχειν πρὸς φίλους, καὶ τὰ παρ' ἐκείνων κρίνειν προπετέστερον, ἢ ἀσφαλέστερον. Οὔτε γὰρ ἐξήνεγκα τὴν ἐπιστολὴν ἐγώ, οὔτε παρέδειξα γνωρίμοις, ὡς αὐτὸς περὶ ἐμοῦ τοιοῦτον ἐτόλμησας. ἀλλ' ἀπερρίφθην καὶ μὴ βουλόμενος ὑπὸ τῶν πρώτως ἀναγνόντων τὰ γράμματα. ἀφ' αὐτοὶ τ' ἀναγνόντες, ἐπ' αὐτὰ καὶ τοὺς ἄλλους ἐκάλεσαν. οἳ δὴ ἡ τύχας εἶχον ἐπὶ τὴν θέαν ἦλθον, ὡς ἐπὶ τοῦ ἀμφὶ τὸν Ὀδυσσέα οἱ Κύκλωπες. καὶ θεάσασθαι ἐντὸς ὀλίγου ἀθρόοι συνῆλθον, τῶν θαυμαζόντων τὰ γράμματα. Ἆρα παρὰ τοῦτο ἀδικεῖν σοι δοκῶ; οὐκ οἶμαι. ἀλλ' οὐδ' εἰ καὶ ἑκὼν ἐγὼ ἐξήνεγκα. τιμωρητέον γὰρ ἂν ἀδικοῦντα, εἰ σοι τηλικαύτης εὐφημίας ἐφθόνησα μὴ ἐξενεγκών. Εἰ δέ τις ἐλαθὴ παρεισδὺς μετὰ τῶν συνδραμόντων καὶ Πάρδαλις, ὃς ῥωμαΐζων τινὸς ἐπιλαμβανόμενος, τὸν ὑφαιροῦντα γνοὺ κακοήθως ἐσπάραξε, καί τι προσθεὶς παρ' ἑαυτοῦ, πολὺ πονηρὸν ἀπέδω καὶ ἄτοπον, οὐκ ἐμὸν τοῦτο, ὥστε κωλύσαι, οὐδὲ μὴν τὴν ἀρχὴν εἰδέναι. παντὶ γὰρ ὑπὸ λίθῳ σκορπίος εὕδει φασί. Τί οὖν τούτου ἄφελον ἢ κακόηθες; ἐγὼ μὲν οὐχ ὁρῶ. αὐτὸς εἰπὲ τὸ λυποῦν, καὶ ὃς ἐπῆρε τοιαῦτα κατ' ἐμοῦ βλασφημεῖν. ἀλλ' οὐχ ἕξεις. Μὴ οὖν χρῆτε μηδὲν ἀδικοῦντα. τὸ γὰρ μὴ κινεῖν ἠρεμοῦντα, καὶ ἡ παροιμία παιδεύει. ἄλλως τε καὶ τὸ σὲ Αἰνείου παντί που ῥᾷστον. Ὁποῖον κείμενον εἴπῃς, τοῖον καὶ ἐπακούσῃς :

Περὶ

Περὶ Μεμπτικοῦ χαρακτῆρος.

Μέμψις ἐστὶν ἀμελοῦντος τοῦ κηδόμενος κατηγορία. Μεμπτικὸς δὲ τύπος ἐπιστολῶν, ὅταν οἱ φίλοι χρῶνται δὲ ἐγκαλοῦντες τοῖς φίλοις, τῶν κηδεμόνων ἀμελοῦσι φιλίας· ἢ ὡς ψευσαμένοις τὰς ὑποσχέσεις· ἢ ὡς μὴ ἀντεπιστέλλουσιν· ἢ ὡς ἀμνημονοῦσι παλαιᾶς συνηθείας, μηδ' ἀντεπιστέλλουσιν ὡς οἰκείοις φίλοις· ἢ ὡς ἀσυμπαθέσι καὶ ἀμυλήχοις· καὶ τὰ τοιαῦτα. Διαφέρει δὲ τοῦ κατηγορικοῦ, τά τε ἄλλα, καὶ τὸ μηδὲ ἐναγώνιον εἶναι ὡς ἐκεῖνος· μήτε πικρῶς καθάπτεσθαι τῶν ἡμαρτηκότων· ἀλλὰ πρᾳότερον ἐμφαίνειν τὰς πρὸς φίλους μεμψιμοιρίας. χαριεντισμοῖς τε καὶ σκώμμασι τὰ πολλὰ χαίρων, καὶ πρὸς τὸ ἀνεπαίσθητον ἀποβλέπων: Θαυμάσαι δὲ ἔξεστι τὴν ἀρχὴν καὶ οὐκ ἐπιτηρῶσιν, τί ἂν εἴη τὸ ποιοῦν ἀμελῆσαι τοῦ κηδόμενος τὸν φίλον. τὰς δὲ πίστεις τῆς μέμψεως, ἔκ τε τοῦ πράγματος καὶ τῶν προσώπων λαμβάνειν, καὶ ἐκ τῶν ἄλλων περιστατικῶν. Βραχὺ δ' ἐπίλογον χρηστέον, ἐς φιλίαν τὸν φίλον ἀνάγοντι, καὶ τὴν προτέραν διάθεσιν.

Ὑπόδειγμα.

Ποῦ δὲ συνθῆκαι τε καὶ ὅρκια πολλὰ βέβαια ἡμῖν; ταῦτα μὲν Ὀλυνθίοις παρ' Ἑλλήνων εἴρηται· ἐμοὶ δὲ μᾶλλον εἰρῆσθαι προσήκει περὶ σοῦ. αἱ γὰρ ἐκείνων ὑποσχέσεις, πολλῶν ἔργον ἦν· ὡς οὐχί τινα συγγνώμην καὶ ψευσθεῖσι. τὰς δὲ περὶ σοῦ οὐ κόλακες, ἀλλ' ὁ μακρὸς χρόνος, καὶ ἡ πολυετὴς πεῖρα ἔδειξε ἐν ἀσφαλεῖ καθεστάναι. δι' ἣν οὐκ οἶδα, εἰ χρὴ σε μᾶλλον τῆς ἀπάτης, ἢ ἐμαυτὸν τῆς πίστεως μέμψασθαι. Χρόνον οὐ μικρὸν μὲ κατεῖχες, ἐφ' ᾧ μοι συναπῆρας ἀδόκητα προσέπεμψας ὡς αὐτίκα λόγου ἐλήφθης, ἀλλ' οὐδὲ γραμμάτων ἠξίωσας ἀπὸ σαυτοῦ. δὶς καὶ τρὶς ἐπεστάλκαμεν, καὶ παρὰ σοῦ πλέον οὐδέν. τίνες φιλίας φέρουσι ταῦτα θεσμοί; πῶς

ἀνδρὶ

λαὶ διαθέσεως. ἔαρ, ὃ καθηδύνει τοῦ θείου ὄντως ποθουμέ-νης ἀναφαίνεται· ὃ ποικίλλει καλλιστέφανον τὸν λειμῶνα τῆς ἐκκλησίας μυρίοις ὅσοις ἀνθέσι τῶν ἀρετῶν ἄνθεσιν. ἤνθησε δὲ ἐπὶ τῶν ἡμετέρων ὄντως, ἢ τό γ' ἀληθέστερον εἰπεῖν, μετὰ ζῆλον καὶ ἀρθῆναι δόξης. ἔνθα καὶ κορυφὴν μᾶλλον, ὥστε μεγάλως ἔτι καὶ ἀναμιμνήσκει ὑποσχέσεων, τοῦ πνευματικοῦ θέρους ἡμῖν ἐκτελοῦς τοῦ καρποῦ. ὅσον μὲν σπουδαιοτάτης ἐμπαθοῦς ὕλης, ἀναξηραινόμενον· ὅσον δ' ἀνώτερον καὶ ἀστεῖον, μαλάττεις, ἀεὶ καταψαύων ταῖς ἀκτῖσι τῶν θείων λογίων, καὶ εἰς σιτοθήκην ἀποθησαυρίζων ὥριον. Ταῦτά τοι καὶ συγχαίρεται σοι τῆς εὐλογίας τῶν πιστευόντων, καὶ πάντας φέρει ἐγείρει τῆς θεοσεβοῦς ψυχῆς σου τὰ προτερήματα. Ἐμοὶ δὲ τῆς σπορᾶς λαχόντι, καὶ πόρρωθεν ἀποχειρουμένῳ, τὴν περὶ τὸ ἔνθεον ὕψος σου σάλπιγγι, τάχα καὶ τοιαῦτα ἐπῆλθεν εἰπεῖν. εὐλαβουμένῳ τὸ τῆς παροιμίας, καθὸ ὑποκαλύπτω, τὸ Ἡρακλεῖ σῶμα μὴ περιβάλλοντα. ὃν δὲ θεὸς ἐθεράπευσε, καὶ Μοῦσα (ὦ σὺ θεοσεβέστατε) ἐγγυτέρω γενέσθαι, περὶ σοί τι, καὶ ὑπὸ σοί, πλεονεκτεῖν ἐστερημαί τι καὶ φέρομαι. Ἀλλὰ συνευχόμενοι σοι καὶ συμπροσάγω εἰς βαθύτε καὶ λιπαρὸν γῆρας ἢ καὶ διορθωμένον τὸ ὕψος τοῦτ' ἀξιώματος ἀγαθαρχικὴ προνοίᾳ σεβαστεύοντα. ἔρρωσο· ἀπὸ Ζακύνθου ͵αχκα. ἔτει ἀπὸ Χριστοῦ. Θαργηλιῶνος ζ'. ἱσταμένου. τῆς ὑμετέρας σεβασμιότητος ἐλάχιστος δοῦλος, ἀλλὰ πιστὸς Θεόφιλος ὁ Κορυδαλλεύς.

Διονυσίῳ τῷ ἐν λογίοις, τῷ φίλῳ ἀνδρῶν ἀειλαμπεῖ·
τούτῳ τῷ μακρῷ, Θεόφιλος ὁ Κορυδαλλεύς,
εὖ πράττειν.

Εἴπερ ποτὲ καὶ νῦν εὐχήκαμεν τὸ ὁμηρικὸν ἐκεῖνο τεθαύμακας πρεμνότατα δίκαια, ἐν οἷς παρεισάγει τὸν Ἀχιλλέα εἰς παραμυθίαν λέγοντα τοῦ Πριάμου. τὰ μὲν κατὰ καὶ

ἀκρατῶ

ἄκρατα τοῖς ἀνθρώποις διανενέμηνται παρὰ τοῦ Διός. τὰ δ' ἀγαθὰ οὐκ ἔτι, ἀλλ' ἀνατετρυμμένα κακοῖς. Τοῦτο γὰρ αὐτοχρεῶς ἐπὶ τοῖς σοῖς μοι συμβέβηκε γράμμασιν. ὅτι μὲν γὰρ οὐκ ἀπεικότως ἅτε δὴ πρὸς φίλον τοιοῦτον, ὃν ἔγωγε καὶ ἀπίστῳ φαντάζομαι, οὐδ' ἂν εἰπεῖν δυναίμην ὡς ὑπερευφραίνομαι. ἀλλὰ καὶ ἐν μετρίοις ἐλύπησε, καὶ μὰ τὴν ἱεράν σου ψυχήν. ἡ γὰρ ἐπιπεσοῦσα νόσος οὐκ ἐντυχεῖν ἐξ ἐπιτασεως τούτοις παρ' αὐτὰ τὰ ἀφίξεως ἐνεχώρησε, καὶ ὡς ἴδιε καρπώσασθαι παρ' αὐτῶν ἐδόκει ἀναίσθητον ἔθηκεν. οὕτω μοι βαρέως καὶ ἐπιπολλῶς αὐτοῖς ἀθέητεσιν ἐπιδεδημηκότι κατέσκηψεν. ἐξ ἧς μόλις ἐμαυτὸν (μῆνα ἤδη δεύτερον) συνείλεγμαι. μόνον οὐκ ἐφ' ἑκάστης ἡμέρας τὸ χρεὼν ἐκδεχόμενον. Ὅτι χάριν οὐδὲ θαυμάζειν ἄξιον τὴν ἱεράν σου διάθεσιν, εἰ πρὸς τὴν ἀπάντησιν ὑστερήμενος γέγονα. ἀλλ' οἶμαι χάριν ἐν τῇ τυχούσῃ ὁμολογητέον τῷ παιδεύοντι καὶ πάλιν εὐμενεῖ χριστῷ κατὰ τὸ ἱερὸν λόγιον. Ἐπεὶ δὲ τοὺς φίλους ἀλλήλοις χρὴ σημαίνειν ἐν χρείαις πᾶσι κοινῶς ὁμολογητέον, ἐμὲ σοὶ φίλον ὄντα μὴ θαρρεῖν καὶ χάριν αἰτεῖν, ἄτοπον ἂν εἴη. Ἔστι δὲ οὗ ἐν χρείᾳ τυγχάνω σφαίρας τινὰς τῶν ἀστρολογικῶν, ἃς οἱ πολλοὶ βαρβαρίζοντες καλοῦσι Γλόμπους. δύο αὗται εἰσίν. ἡ μὲν τὰς ἐν οὐρανῷ εἰκόνας γεγραμμένη. ἡ δὲ τὴν περίγειον λῆξιν πεποικιλμένη. ἃς οὐ[illegible] ὁ Θεοφιλέστατος Κυθήρων κέκτηται. πρὸ πολλοῦ ἐν Ἐνετίαις πέπομφε τῷ αὐτοῦ ἱεροδιακόνῳ [illegible]. ἀλλ' ἐκ ἀπείθειν, μέχρις ὅτου διεπεμψάμην ἐν Ἐπίσκοπον ἤγαγε. οἱ γὰρ παλιγγάπηλοι δύο καὶ μόνον ἀξίουσι τῶν ἀργυρῶν τοῖς πολλοῖς λεγομένων δουκάτων αὐτὰς ὠνεῖσθαι δοῦναι. ἐγὼ δὲ καὶ τρίτον τῶν δουκάτων ὑπεσχόμην καταβαλλεῖν εἴ μοι ἀποδοίη. ἀλλὰ παρητεῖτο μου τὴν εἰσήγησιν, ὡς μὴ ἔξω αὐτῷ ἄνευ τῆς βουλῆς τοῦ Θεοφιλεστάτου τοῦτο δρᾶσαι. Εἰ μὲν οὖν μέχρι τοῦ δὴ μὴ εἶχε ἀπολύσεως, ποιησάτω σου ἡ τιμιότης τὸν ἄνδρα

(προσ-

(προσαπαιτούμενος παρ' ἐμοῦ τὰ ἐσχάτα) εἰ δυνατὸν ἡμῖν ἀποδίδωσι· τὰ μὲν φιλίαν τὴν πρὸς ἐκεῖνον προσβαλλομένη, καὶ ἵνα μὴ ἄχρηστα κέοιτο τρίψει διαφθειρόμενα. τὰ δὲ καὶ ὅτιπερ προσῆλθες τῶν δυνατῶν· ὡς ἂν οὖν τὰ πάντα τέλεια ᾖ, ἢ καὶ τί πρός. ἄλλως τε οὐδὲ νεαρᾶς ἐργασίας εἰσί, πρός τε τῷ ἐρρυπῶσθαι ἤδη, καὶ ἀμυχὰς ἐσχήκασιν οὐκ ὀλίγας· καὶ τὸ μέγιστον, ὡς μάλ' ὀλίγοι τοῖς καθ' ἡμᾶς χρόνοις χαίρουσι τῇ τῶν ἄστρων θεωρίᾳ. Ταῦτα μὲν καὶ ὅσ' ἄλλα τὸ ἀγαθόν σου τῆς συνέσεως ἐπικρίνουσα φαίη πρὸς τὸν ἄνδρα· ἢ γράψειεν ἂν τύχῃ Κυδώνης ἐπιδημῶν. τὸν δὲ τύπον αὐτὸν Λεονάρδος ὁ ἡμέτερος (φημὶ δὲ τὸν Μακρόν) ὑπὲρ ἐμοῦ καταβαλεῖται. Εἰ ταῦτα δόξω, ἰδού σου ἡ θεοσέβεια ὡς δῶρον εἴσεται παρὰ σοῦ. ἂν δέ μοι καί τι τῶν δυνατῶν ἐπιτάξῃ, τοῦθ' ὅτι ἄντικρυς εἴπῃ ἡγήσομαι κρεῖττον. ἔρρωσο, καὶ τοὺς σοὶ φιλοῦντας ἄσπασον ὡς παρ' ἐμοῦ· φίλοι γὰρ δι' αὐτῶν. Ἀθήνηθεν. αχιε.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Εὖ σοι γένοιτο πολλῶν ἕνεκα πατέρων ἱερώτατε, καὶ φίλων ἄριστε, ὅτι καὶ περὶ τῶν ἀστρολογικῶν ὀργάνων φροντίδα ἀνέλαβες ὑπὲρ ἐμοῦ οὐ σμικράν· καὶ τοῦ καθ' αὐτὸ σκοποῦ ἀποτετυχηκὼς, ἑτέραν ὁδὸν ἐξευρεῖν οὐκ ὤκνησας, δι' ἧς μοι ταῦτα πέρας γένοιτο. καὶ ὁ τύπον ἀπέστειλεν ἐμοὶ σημαντικώτατον, ὅτι καὶ χρημάτων ἠξίωσε τῶν παρά σου αὐτὸ τοῦτο δηλοῦντων, καὶ τὴν σὴν πρὸς ἐμὲ χαριεστάτην διάθεσιν· οἷς ὅσον ηὔφρανας, τεκμαίρεσθαι ἔχεις τῷ ἀνεπαχθῶς ἀπεσχέναι διαμαρτηκότα τῶν προσδοκηθέντων ὀργάνων· σοῦ γὰρ ἀπορῶν, οὐδενὸς ἀπορεῖν ἡγοῦμαι τῶν ὅσα ἀνθρώποις χρήσιμα. ὀργάνων γὰρ εἰ καὶ τῶν παρὰ τοῦ θεοφιλεστάτου ἐσφάλημεν, ἔστιν ἐπιτυχεῖν τῶν ἐκ Σικελίας, ἢ ἐντεῦθεν, διά σου καὶ αὖτις ἐθέλωσι. Ἀλλ' ἡ περὶ τούτων φροντὶς τῶν

γων

νοῦν ἔχων, εἰς ἄλλον ὑπερτιθέμενος καιρὸν, καθ' ὃν καὶ αὖθις σου τῇ ἱερᾷ διαθέσει περὶ αὐτῶν σημανοῦμαι. γραμμάτων δὲ μὴ ἀπαξιώσεις τῶν παρά σου διηνεκῶς ἡμῖν ἡδονῆς τηλικαύτης μεταδιδόμενος προφάσεσιν. ἔρρωσο ἀθήνηθεν, ᾳχιε. ἀπὸ Χριστοῦ. μηνὸς Ἐλαφηβολιῶνος εἰκάδι.

Τῷ ἐν ἱερομονάχοις πανευλαβεῖ καὶ λογίῳ ἀνδρὶ Κυρίῳ Νικοδήμῳ τῷ Μεταξᾷ. Θεόφιλος ὁ Κορυδαλεὺς. τὴν ποθουμένην ἐπίδεξιν :

Ἔχει τι δεξιὸν καὶ ἡ διάστασις, καὶ οὐ πάντῃ ἔοικε τοῖς γε ποθοῦσιν ἄχρηστος. τήν τε γὰρ μνήμην ἀναγείρει τῆς συνουσίας, καὶ τοὺς ἐν ὁμιλίαις ἀφοσιώσεις μᾶλλον ποιεῖ συνεθίζεσθαι. Ἐγὼ δὲ οὐδὲ προνοίας ἐκτὸς θειοτέρας, ὅτι παντελῶς φημὶ τὴν διάζευξιν, τὴν ἀνιαρῷ τῆς διαστάσεως ἡδίω ἡμῖν ἐς αὖθις προυταμιευούσης τὴν ἕνωσιν. τοιοῦτον γάρ με καὶ λέγειν πείθει καὶ ὑπολαμβάνειν τὸ, τε αὐτὸν ἀπαθῶς διαγαγεῖν μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν, κἀμὲ καὶ λυπηροῖς προσπαλαίειν, οἵοις οὐκ ἄν ποτε ἤλπισα. Μὴ γὰρ ὅτι μόνην ἡμῖν ἀπ' αὐτῶν καταλελοιπέναι τὴν περὶ ἀπουσίας τῆς σῆς ἀθυμίαν (καί τοι κρείττονος ἐς ἀηδίας ὑπερβολὴν ὑπαρχούσης) ἐμοὶ δὲ ἀλλ' ὡς φασὶ τῇ Πανδώρᾳ τοῦ πώματος ἀφαιρεθέντος ἐπ' ἀνθρώπους ἐσκεδάσθη τὰ ἐκ πίθου κακά. οὕτω σου τῆς σῆς συνουσίας ἀπολελειμμένῳ, μυρίων ὅσων ἐσμὸς ἀνιαρῶν ἐγκατέσκηψε. καινοὶ κακῶς ὑπόλειπον οἱ πάντων ἐμοὶ τῶν κακῶν ἀρχιτέκτονες. ἀνθ' ὧν ἀπέγνωσταί μοι Πατρὶς ἡ φιλτάτη, ὑπὲρ ἧς τὰ κλεινά μοι παρῶπται Εὐρώπης μουσεῖα καὶ παιδευτήρια. καὶ ἧς ἕνεκα τυραννικὸν ἀνθειλόμην ζυγὸν τῆς γλυκυτάτης ἐλευθερίας. Ἔμελλον δὲ τῆς ἐπὶ Κρήτης ἐλθεῖν ὅσον οὐδέπω, εὐκαιρίως τὰ παρ' ὑμῶν ἐπίχειρα ἀφικόμενα χρήματα. ἃ κἂν μεθέλκυσιν ἅλῳ βαδίσματι πρὸς ὑμᾶς. Ἀλλά με τίς

εἰσέτι μεμνῆσθαι ἂν πρὸς ἀλλήλους ἰδίᾳ ποτὲ σκεψαμένους, παρέντες τε τὴν εἰς Κρήτην ἀποδημίαν, συμπαθεῦσαι τε ἅμα συνεπιδεῖν καὶ συνδιατρίψαι. ἐφ' οἷς δεύτερον ἔδοξε σκέψιν ἀσπάσασθαι, ποτέρωθι τὰς διατριβὰς ἄμεινον ποιοίμεθα. Τὴν μὲν γὰρ τῶν Κεφαλληναίων ἄλλων τε χάριν ὧν σμικρῶν, καὶ ὅτι Πατρὶς ὑμετέρα, οὐκ ἔχω μὴ ἐπαινεῖν. ἡ λοιπὴ δὲ μᾶλλον κοινῇ συνοίσουσα φαίνεται· αἵ τε γὰρ Μοῦσαι ἀνεμποδίστως δέονται τῆς ψυχῆς. αὐτὰρ τῇ Πατρίδι τοὺς περὶ συγγενεῖς καὶ οἰκείους ἀποχαλάσαντας, ὧν μείζων οὐδὲν ἡ ἀπόλαυσις. ἐμοὶ δὲ καὶ ἐκ μιᾶς ἀφορμῆς ἔσται ὑμῖν τε ὑπουργῆσαι τὰ εἰκότα, καὶ Κρητῶν τοῖς μελαγχολικοῖς μὴ ἀπεχθάνεσθαι. πρόσθες δὲ εἰ βούλει, ὅτι καὶ νῦν αὔξει ἡ τῶν ἀλλοδαπῶν ἱστορία. ἡ περὶ τοῦ ὑμετέρου Ἥρωος ἔστω ἡ ποίησις. Εἰς οὐδέτερον μέντοι τούτων τυγχάνω τὴν γνώμην ἀπηρεισμένος. ὅθεν ἥδιστ' ἂν ἀκούσαιμι καὶ τὴν παρ' ὑμῶν περὶ τούτων εἰσήγησιν. ἣν μοι δηλῶσαι, εἰ μὴ ἀπαξιοῦντες, περιμενῶ. ἐν τοσούτῳ δὲ καὶ τὰ οἰκεῖα ὁπωσοῦν διαθήσω, καὶ τῶν ὀφειλομένων δυσχερειῶν σὺν Θεῷ ἀποσκεδάσαι τὸν ὄχλον πειράσομαι. Σοὶ δ' ἄλλα πλεῖστα χάρις ὧν τ' ἀπέσταλκας, καὶ ὧν ἀποστεῖλαι διενοοῦ, καί τι τούτων ἐκομισάμεθα πλὴν τῶν γραμμάτων οὐδέν. καὶ ταῦτ' ἀποστερησόμενα καὶ ὑστερήμερα. ἀλλ' οὐδὲ περὶ τούτων ἄλλα, οὐδ' ὅλως περὶ τούτου. ἕν τινα δ' αἰτῆσαι χρὴ τῆς διαλύψεως τόπον, αὐτὸς εἰσηγήσαιο μέντοι ὑφ' αὐτὸς ἀγνοῶ, ὡς ἂν τὸ μὴ παρ' ἡμῶν ἀξιοῦσθαι τὴν ἴσην δυσχεραίνοις χρεών, ἀλλὰ τὸ μὴ ὑποδεῖξαι τὰ περὶ σοῦ. ἔρρωσο. καὶ τὸν αἰδεσιμώτατον καὶ τιμιώτατον σὸν ἀδελφὸν κύριον Ἰωάννην Βαπτιστὴν πρόσειπε ὡς ἀπ' ἐμοῦ ἐκ καρδίας. Πρόσειπε δὲ καὶ τὸν τιμιώτατον τοῦτον μὲν Ἱερόθεον. Ἀθήνηθεν Βοηδρομιῶνος ἑβδόμῃ ἐπὶ δέκα. αχιθ. ἀπὸ θεογονίας:

'Ο

Ὁ αὐτὸς Σοφιανῷ.

Οἷς ἀπαιτοῦσί με τὸ γράφειν, τοῖς αὐτοῖς τοῦτο μοι δοκεῖ ἀπαγορεύειν ὦ βέλτιστε. καινῶν γὰρ εἶναί σοι τῶν παρ' ἡμῶν ἐξαγγελτικὰ κελεύεις τὰ γράμματα. τοιοῦτον δ' οὐδὲν οὐδὲν τῶν γινομένων, ἀλλ' οὐδὲ τῶν δυναμένων, εἰ Σολομῶντι χρὴ πείθεσθαι. Τὸ γενησόμενον γὰρ τὸ γεγονὸς διαδέξεται, ὡς καὶ τὸ ποιηθησόμενον τὸ πεποιημένον. καὶ οὐδὲν καινὸν οὐδὲ πρόσφατον ὑπὸ τὸν ἥλιον. Παροιμ. τοιαύτη γὰρ ἡ τοῦ χρόνου φύσις. οἷα γὰρ ἀναλίσκει τὰ ἀρχαῖα, τοιαῦτα καὶ ἀποδίδωσιν, ἐν κύκλῳ τὸ ἄρθρον ὑποπαίζουσα. οὐκ ἄρα γράφειν ἡμῖν ἐξέσται, καινὰ μαθεῖν οὐκ ἔχουσιν. Εἰ δὲ τῶν ἀεὶ νέων ἐγχειρημάτων παρὰ τὴν φιλοσόφου εἰσήγησιν ἐννοεῖς, οὐδ' αὐτὴ τοιαύτη. ἡ γὰρ μάθησις ἀνάμνησις ἐστὶν τῷ δοκεῖν Πλάτωνι. ἡ δ' ἀνάμνησις προεγνωσμένου τινός ἐστιν ἀναπόλησις. ἔστω δὲ καὶ οὐκ ἀνάμνησις τὸ μανθάνειν, οὐ μὴν διὰ τοῦτο καινόν, ἀλλὰ καὶ κοινόν, εἴπερ ἐστὶ διαλεκτικὸς ἐπιστήμης ὁ ἄνθρωπος. Ἀλλὰ πῶς δοκοῦμεν ἀνασκευάζοντες τὰ καινά, αὐτὸ τοῦτο κατασκευάζειν ὅτι καινά. ἡ γὰρ τῶν καινῶν ἀπόφασις, θέσις αὐτῶν τούτων ἐστίν. Ἄλλως τε οὐδὲ πόρρω τῆς ἀληθείας ὁ Ἡρακλείτειος φιλαλήθης. τοῖς ῥέουσιν ἀεί, νέα ἀντεπεισάγεσθαι ἕτερα. ἔστω γοῦν ἵνα καί σοι χαρισώμεθα καινὰ μανθάνοντες, καὶ ἡμῖν αὐτοῖς φιλοσοφήσωμεν τῶν καινῶν τὴν ἀπόφασιν. Ἀλλ' αὐτὸς (εἰ σοὶ δοκεῖ) καινῶν τοιούτων μεταδιδόμενος ἀπόφασιν, καὶ αὖθις γράφε, καὶ ἔρρωσο.

ΕΠΙΣΤΟΛΑΙ ΕΛΛΗΝΩΝ

μεταγενεστέρων καὶ καθ' ἡμᾶς ἠκμασάντων.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

ἐπισκόπου Κυθήρων [illegible], Περὶ τοῦ, Τίνα τρόπον ἐν τοῖς [illegible] παραχωρεῖται τὰ κρεά, ὡς ἐν εἴδει ἐπιστολῆς, πρὸς τὸν παναγιώτατον Κωνσταντινουπόλεως Πατριάρχην Κύριον Ἱερεμίαν :

Ἐγὼ τὸ τοῦ νοῦ πτερὸν τῆς ὡς πρὸς τὴν ὕλην ἀρχῆθεν οἰκείας συναφείας, καὶ τῆς συμπεφυκυίας πως, ἔσω [illegible] ἀναπαύων, ἵνα μὴ τοῖς τῇδε ἐπὶ πολὺ παραμένον, τῇ πρὸς τὰ κάτω φορᾷ κολασθείη [illegible] ἐλεεινῶς, καὶ καταβαπτίζοιτο, καὶ [illegible] τοῦ λοιποῦ πρός τε τὰ ἑαυτοῦ [illegible] γίγνοιτο, καὶ τῆς τοιαύτης θεωρίας, ἣν ἂν τάχα καὶ χρείαν, ἀπαγγέλλοιτο, πρὸς τῆς θείας [illegible] ἔτι λόγοις ἀνακαθαίρειν, καὶ ὅσον [illegible] ἀνακαινίζειν αὐτὸ κατεπείγεσθαι, παναγιώτατε δέσποτα. Ἐπεὶ δὲ τὰ πλεῖστα ταύτης ἀφορῶντα τοῖς πολλοῖς, ἄλλως τε καὶ οἷς ὥσπερ τῆς τῶν παθῶν ἰλύος ὁ τῆς ψυχῆς ὀφθαλμὸς ἀνακεκάθαρται τέλεον, μάλιστα ὁ τῆς σαρκὸς τόπου [illegible] τε καὶ ποικίλαις κηλῖσι κατεστιγμένος ἀποπτάσθαι χιτὼν, ταύτῃ καὶ μόνον τῇ θεωρίᾳ φέρων ἔδωκα ἐμαυτὸν, [illegible] λόγῳ ἀναζητεῖν ἐν τοῖς κάτω τοῖς δὲ παραχωρεῖται τὰ κρεά, τῆς τε κατὰ τὸν καιρὸν κολάσεως τῆς καθ' ἡμᾶς ἱερᾶς ἐκκλησίας, τῆς τοιαύτης [illegible] τὰς ἀφορμὰς παρέσχεσθέ μοι, καὶ δὴ καὶ τὸ [illegible] ἐμὲ καὶ πάλαι, καὶ

νῦν ἰδεῖν ἦλθεν ἐξ ἐμπειρίας τε καὶ σκαιωρίας τινὸς ἐπιξυμβάσης ἀτυχίας τε καὶ κακώσεως. Καίτοι χρὴ οὖν ἐπὶ πᾶσιν τοῖς τοῦ νοῦ ἀρχικοῖς θεωρήμασι, πῶς τε καὶ τίνα τρόπον τὰ κακὰ ἐν τοῖς οὖσιν ἐστὶ τὸ θεῖον βεβούληται ἐπισκοπεῖν, καὶ γὰρ ἐξ ἀξιώματος εἶδέν τινος ὁμολογουμένου τε καὶ ἀναμφισβητήτου ὁρμώμενος, τὴν θείαν θέλησιν ἀρίστην καὶ ἀναιτίαν τῶν τε εἰδῶν πάντων, καὶ τῶν γενέσεων ἐστὶν αἰτίαν, καὶ μηδὲν γίγνεσθαι ὅλως, ὃ μὴ τῆς ἀιδιοτέρας καὶ νοερᾶς ἐκείνης τοῦ πάντων βασιλέως αὐλῆς τὴν ἀρχὴν ἔσχηκεν. ἐπειδὴ δὲ αἴτιον τῶν κακῶν αὐτὸν μὴ εἶναι καὶ μάλιστα καὶ διὰ πίστεως μυηθεὶς, καὶ διὰ λογισμῶν παιδευθεὶς, τίς ποτ' ἄρα ἡ τοῦ κακοῦ αἰτία, διαμφισβητοῦμαι παρ' ἐμαυτῷ. μόλις δὲ ἔνθεν κἀκεῖθεν διαπορῶν, εἰς ταύτην τελευτῶν ἀνήχθην τὴν ἔννοιαν, ἣν καὶ σοὶ ἀνακοινοῦσθαι, δίκαιά τε καὶ τὰ κατ' ἐμὲ καθήκοντι συμβαίνοντα ἀρέσκον, διέγνωκα. Τὴν γὰρ τοῦ θείου θέλησιν διττῶς ἐπινοοῦμεν παρ' ἡμῖν, ἢ ἐφ' ἡμῖν, ἔκ τινος ὥσπερ προηγουμένου συμπεράσματος. ἐκείνως μὲν, ἀγαθοεργουμένων, καὶ τῷ θείῳ παιδαγωγουμένων θελήματι. οὕτω δὲ, τῆς ἀδείας ποτὲ παραπεπτωκότων τε καὶ ἁμαρτανόντων. καὶ αὐτὴν δὲ ταύτην τὴν θέλησιν, ὥς τε προηγουμένην πως καὶ ἐπακολουθοῦσαν διαιρετέον εἶναί μοι δοκεῖ. καὶ γὰρ οἰκείας πρὸς ἀγαθὸν θελήσεις ἐκπληροῖ τὸ θεῖον διὰ τῶν μοχθηρῶν τῶν πονηρῶν ἀνθρώπων θελήσεων ἀνθρώπων. ὥσπου γε διὰ τῶν σταυρωσάντων Ἰουδαίων, ἵνα καὶ ἄνωθεν ποθεν τὴν τοῦ λόγου συγκατάβασιν ἀποδείξῃ, εὐδοκίᾳ τε καὶ θελήσει τοῦ ἀγαθοῦ καὶ ὑπεραγάθου πατρὸς εἰς θάνατον ὁ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ὑπὲρ ἡμῶν παραδίδοται. ὅπερ ὑπέρμεγα ἀγαθὸν γέγονε, καὶ ἐξ ἄλλων πλείστων ἀριδήλως παρίσταται, κἀκ τοῦ καὶ Πέτρον αὐτὸν, τό γε ἐς αὐτὸν ἧκον, τοῦτο κωλῦσαι ἑλόμενον, σατανᾶν παρ' ἐκείνου εἰκότως ἐπικληθῆναι. Ἔστι γε μὴν ὅτε καὶ

ὁ ἄνθρωπος ἀγαθῇ τινὶ κινούμενος προαιρέσει, βούλεταί τι
ὅπερ ὁ Θεὸς οὐ βούλεται. ὥσπερ ἂν εἴ τις ἀγαθὸς ὢν, τὴν
ἰδίαν πατρίδα ἐν τοῖς ζῶσιν εἶναι ἐβούλετο, ἣν μέντοι τῇ
χρείᾳ ὑποφερομένην ὁ Θεὸς βούλεται. ἡ μὲν οὖν προηγουμένη
καὶ πρώτη πάντων ἐστὶν ὄντων αἰτία, ἡ τοῦ δημιουργοῦ ἐστὶ
θέλησις, ἣν εὐδοκίαν περὶ αὐτοῦ αἰτίαν καλέσωμεν, διὰ τὸ
φίλιον αὐτὴν εἶναι. αὐτή τις ὑποκειμένοις ἀπαρτίζει καὶ
βεβαιοῖ, ὅτι ὑφ' ἑαυτῆς δέχεται τὸ ὅτι μάλιστα πέφυκε, τὸ
δι' αὐτὴν δίκαιον πᾶν ὅπερ ἐστὶ δίκαιον. ἐν γὰρ τῇ ἑαυτοῦ
ἀιδιότητι καὶ τὴν τῆς ἀιδιότητος σημαίνει, ὁ αὐτοῦ θελήσεις ἐστί. Κυ-
ρίως μὲν οὖν καὶ ἀληθῶς καὶ προηγουμένως θέλησις λέγοιτ'
ἂν τοῦ Θεοῦ, ἡ ἐν αὐτῷ τε καὶ τῇ αὐτοῦ οὐσίᾳ ὑπάρχουσα, ἥτις
ἁπλῆ τέ ἐστι, καὶ αὐτό τι πλῆθος, ὥστε μεταβαλλομένην ἀδιάδε-
κτον, καὶ ἣν μὴ παρεμπίπτει, ἀδιαίρετόν ἐστι. περὶ ταύτης γοῦν
ψαλ. ρλδ. εἶπεν ὁ προφήτης, ὅτι Πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐ-
» ποίησε. καὶ ὁ μακάριος Παῦλος, Εὐλογητὸς ὁ Θεὸς, ὁ θέ-
» λων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν. Ἐπομένην δὲ θέλησιν Θεοῦ λέγομεν, ἥ τε ἐντολὴ, καὶ
ἡ ἀπαγόρευσις, καὶ ἡ παραχώρησις, καὶ αὐτὰ τὰ ἔργα. καὶ
διὰ τοῦτο πεποιθὼς εἶπεν ὅτι ἡ ἱερὰ γραφὴ θελήματα
ψαλ. ρι. Θεοῦ ὀνομάζειν εἴωθεν. ὥσπερ ὅπου δὴ λέγει, Μεγάλα τὰ
» ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.
» ταῦτα γὰρ κατά τινα τρόπον θελήσεις Θεοῦ λέγονται, διὰ τὸ,
ἐκ τοῦ Θεοῦ πως ἐξηρτῆσθαι θελήσεως, καὶ ἐκείνης εἶναι σημεῖα,
ἥτις μία τε καὶ ἀμετάβλητός ἐστιν. Ἀλλ' εἴποι τις ἂν ἴσως
ἐγὼ, εἰ τὸ πᾶν ὁ Θεὸς ὅπως ἐστὶν ἠθέλησεν, ὥσπερ καὶ γέγο-
νεν, ὅτι ἀγαθόν ἐστι, τίνος ἂν ἕνεκεν ὃ μὴ γέγονε προσέ-
ταξέ τε καὶ ἐνετείλατο; καὶ ὃ γέγονεν, ἀπηγόρευσεν; ἀγαθοῦ
πάντως ὄντος ἑκατέρου, τοῦ τε μὴ γενέσθαι φημὶ ὃ γέγονε,
καὶ τοῦ γενέσθαι, ὃ γέγονεν; Ἀποκρινόμεθα δ' αὖθις αὐτοῖς
ἡμεῖς, εἰ ποιοῖ τὴν τοῦ ἀγαθοῦ διαίρεσιν προσθέμενοι. τὸ

ἐφ

ὅπερ ἀγαθὸν λέγεται, ἢ καθ' ἑαυτὸ ἀγαθόν ἐστιν, ἢ τῷ πρὸς ἕτερόν τι χρῆναι τοῦτο λέγεται, τῷ ἄλλῳ τῷ δύνασθαι εἶναι ἀγαθόν, μὴ καθ' ἑαυτὸ ὂν ἀγαθόν. ἔστι δέ τι ἐξῃρημένον τὸ καὶ καθόλου ἀγαθὸν τὸ πᾶσι, καὶ πάντων ὂν ἀγαθόν. ὃ δὴ παρὰ τοῦτο καὶ ἄκρον ἀγαθόν, ἢ αὐτό ἐστι τἀγαθόν. μάλιστα δὲ χώραν ἔχει ἀγαθόν, ὃ καὶ αὐτὸ ἀγαθόν ἐστι, καὶ τῷ πρὸς ἕτερόν τι χρῆναι τοιοῦτον. αἱρετὸν δὲ ἀγαθόν, καὶ παραπεμπόμενον, τὸ πρὸς ἄλλο καὶ μόνον ἀγαθὸν ὄν. οὐ γὰρ ὅπερ ἐστὶν αὐτό, ἀγαθόν ἐστιν, ἀλλὰ τὸ ἐξ αὐτοῦ. εἰ γὰρ μὴ εἴη τό, ὅπερ ἀγαθὸν οὐκ ἔστιν, οὐκ ἂν ἐγίνετο ἐξ αὐτοῦ τὸ ὂν ἀγαθόν. οὐ μέν τοι διὰ τοῦτο αὐτὰ τὰ κακὰ χορηγεῖ τι ἀφ' ἑαυτῶν, ὡς ἀφ' ἑαυτῶν, τῷ ἐξ αὐτῶν εἶναί τι ἀγαθόν. ἀλλὰ μᾶλλον αὐτὰ τῷ χορηγοῦντί τε καὶ διηγημένῳ δουλεύει, ὅτι οὐ δι' αὐτά ἐστιν, ἀλλὰ διὰ τὸν χορηγοῦντα τὸ ἐξ αὐτῶν. Ἡ μὲν οὖν θεία ἐντολή, διὰ τό, ᾧ προστάττεται, ἀγαθὸν γίνεσθαι, ἀγαθόν ἐστιν ᾧ προστάττεται. ἄλλως γὰρ ἂν μάταιος ἡ ἐντολὴ ἐγίγνετο, εἰ μὴ ὅπερ ἐπροστάττετο, ἀγαθὸν εἴη, ἄλλως τε καὶ παρὰ τοῦ ἀγαθοῦ προστεταγμένη. ἐνδέχεται μέν τοι τὸ τινὸς ἀγαθὸν ὄν, μὴ καὶ πρὸς πάντα ἀγαθὸν εἶναι. καὶ αὖθις, τὸ τινὸς κακὸν ὄν, διὰ τό, πᾶσιν ἐξ αὐτοῦ ἀγαθόν τι περιγενέσθαι, πάντων εἶναι ἀγαθόν. καὶ οὕτω τὸ ἀγαθὸν ὄν, καὶ τινὶ ἀγαθόν, ἔλαττον ἀγαθὸν εἶναι ἐνδέχεται τοῦ ὄντος κακοῦ, καὶ τινὶ κακοῦ, ὅ τι τοῦτο, μεῖζον ἐστὶν ἀγαθόν, ὃ πάντων ἀγαθόν ἐστι. καὶ μεῖζον ἄρα ἀγαθόν ἐστιν, ἐκεῖνο εἶναι, ἐφ' ὃ μεῖζον πρόεισιν ἀγαθόν, εἰ καί τινι ἐκεῖνο ἀγαθὸν οὐκ ἔστιν, ὅτι ἐν τῷ ὅλῳ ἀγαθόν ἐστιν. ὥσπερ ἐν τῇ τοῦ ἐλάττονος ἀποτεμνομένου ἀγαθοῦ τὸ μεῖζον ὂν ἀγαθόν, ὑπὸ τῶν ἀρίστων ἰδεῖν κωλυθῆναι. φαμὲν δὲ ὅτι μεῖζόν ἐστιν ἀγαθόν, τὸ ἐξ ἀγαθοῦ καὶ πονηροῦ, ἢ τὸ ἐκ μόνου τοῦ ἀγαθοῦ εἶναί τι ἀγαθόν. τὸ ἄρα τὰ κακὰ εἶναι, παραχωρηθῆναι ὑπάρχειν, ἐπεὶ τὰ αὐτὰ εἶναι, ἀγαθὸν εἴη, ἐξ ὧν ἤμελλεν εἶναι ἀγαθόν.

ἀγαθόν. ἐφ' ὃν ἑκάστῳ ἀγαθόν ἐστι, τοῦτο ὁ θεὸς ἀνεπιδεί-λατο, καὶ τὸ φύσει δὲ ὂν ἀγαθόν, παρακεχώρηκεν, ὅτι καὶ μεῖζον τὸ τοῦ ὅλου ἐστὶν ἀγαθόν, ἐφ' κωλυθῆναι οὐκ ἔδει. Διὰ τοῦτο φημί, ἐφ' ἐστὶν ἑκάστῳ ἀγαθόν, προστέταχε, καὶ τὸ προστάξαι, τοῦτο θέλειν ἐσήμανε. καὶ οὐκ ἄλλό τι παρ' ἡμῶν ἀπαιτεῖται, εἰ μὴ τὸ πρὸς ἡμῶν ὄν, τουτέστιν, ἵνα καὶ ἀποδεχώμεθα τοῦτο, καὶ ποιῶμεν, καὶ ἀγαπῶμεν, ὥσπερ καὶ ὁ θεὸς τὸ ἡμέτερον ἀγαθόν, ἵνα ὅμοιοι αὐτῷ γενώμεθα. καὶ ὅτι ἡμῖν τὸ ἡμῖν ἀγαθὸν προστέτακται, ὅτι τοῦτο βούλεται ὁ θεός, ἡμῖν διασημαίνεται. ὅτι γίνεται, εἰ μὴ ἐφ' ἑαυτοῦ γίνεσθαι ἐδήλου, οὔτε ποιοῦμεν ὃ προστάσσει, οὔτε καὶ μή. καὶ γὰρ καὶ εἰ ποιοῦμεν τὸ ἀγαθόν, τοῦτο βούλεται ὁ θεὸς ὃ γίνεται, καὶ ἀγαθόν ἐστι. καὶ εἰ ποιοῦμεν τὸ κακόν, οὐκ ἀποδέχεται μὲν τὸ γενόμενον, ὅτι πονηρόν ἐστι. βούλεται δὲ τὸ γεγονός, ὅτι ὃ γέγονεν, ἀγαθόν ἐστι. Ἀλλὰ ἄρα καθίστησιν ὁ παντοδύναμος καὶ ἄκρα καὶ ἀσφαλὴς αὐτοῦ θέλησις· ἡ ἐν τῇ οἰκείᾳ εὐδοκίᾳ δημιουργηθέν, τὰ δὲ κακά, διὰ τὰ ἀγαθὰ συγχωρεῖται. καὶ ἔστι μεθ' ἀνάγκην ὥσπερ τινὰ αὐτοῖς σημεῖα, ὅ τι συγχώρησις αὐτοῦ, καὶ τὸ ἔργον, τὸ ἐν αὐτῷ δικαιοσύνη, ὅτι ἐν αὐτοῖς ὁ αὐτός ἐστιν. ἐπισημαίνονται γάρ, ὡς αἱ ἐντολαί, καὶ αἱ ἀπαγορεύσεις, αἵτινες οὐ τί ἂν εἴη τὸ ἐν τῇ ἄκρᾳ ἑαυτοῦ θελήσει, ἵνα γένηται, διασημαίνουσιν, ἀλλ' ἐφ' ἂν κατ' εὐδοκίαν αὐτοῦ εἴη, εἰ γένοιτο. Ἀμέλει γοῦν ὁ μὲν τοῦ θεοῦ πολυΐστωρ προφήτης, καθ' ἣν τὰ ἡμέτερα δίκαια, τὴν ἡμετέραν πάντως κατάλη-ψιν ὑπερβιάζεταί τι καὶ διατίθησιν. Ὅτι ἡ παῖς τε τῶν ἀνθρώπων ὁ θεὸς καὶ ἡ τῶν δαιμόνων πονηραῖς θελήσεσιν εἰς ἐξυπηρέτησιν τῆς ἑαυτοῦ θελήσεως κέχρηται, πάντη που πρόδηλον, ὅτι καὶ ἐν ᾧ ἀπαρέσκει τὸ ὄν, τὸ κακὸν εἶναι, ἀρέσκει ὅτι ἐστί, τὸ γεγενῆσθαι εἶναι. οὐ γὰρ θελή-σεων τοῖς φαύλοις ὁ φθονερὸν τὸ θεῖον, ἀλλὰ τάξιν πρέ-

δίδωσι,

δίδοται, καὶ μάλιστα τοιόνδε. τὸ γὰρ φαύλῃ θελήσει, τὸ φαύλῃ εἶναι, ἐξ ἑαυτῆς ἐστιν. ἡ μέν τις τάξις, ἐκ θεοῦ, ἡ διὰ τοῦ θέλειν εἴτε πρὸς τοῦτο εἴτε πρὸς ἄλλο ἐστίν. ἐν τῷ θέλειν οὖν καὶ κακία ἐστὶ, καθὸ ἐκ τῆς πονηρᾶς ἐστὶ θελήσεως· καὶ τάξις, καθὸ εἰς τοῦτο ἢ εἰς τοῦτο, ἐκ τοῦ οἰκονομοῦντός τι καὶ διατιθέντος ἐστί. καὶ ὃ πρὸς τοῦτο μᾶλλον ἢ πρὸς ἐκεῖνό ἐστιν, ἀγαθόν ἐστιν, ὅτι τάξις ἐστὶ, καὶ ἐκ τοῦ καλῶς διατιθεμένου ἐστί. δύναται γὰρ διὰ τῆς οἰκείας κινήσεως ἡ κακὴ θέλησις φθείρεσθαι, ὅπερ αὐτῇ οὐκ ἄλλοθεν δίδοται, ἀλλ' αὐτὴ καθ' ἑαυτὴν ἐξ ἑαυτῆς διὰ τοῦ θέλειν φερομένη, ἵν' οὕτως εἴπω, καταναγκάζεται, καί τις αὐτῇ λοιπὸν ὁδὸς διανοίγεται. ἐν ᾧ γὰρ ἡ θέλησις, ἐπιτηδειά τε καὶ ὅλως ἐπιρρεπής ἐστιν εἰς φθορὰν, ἡ θεία θέλησις ἢ ἡ οἰκονομία κινεῖ πως αὐτήν. οὐ μέντοι καταναγκάζουσα, ἀλλὰ τοῦτο καὶ μόνον, συγχωροῦσα. καὶ οὕτω γε τὴν ταύτην φθείρεσθαι αἴτιος ὁ θεὸς, ἀλλὰ τὴν, φθειρομένην ἤδη ὑφ' ἑαυτῆς, ταύτῃ συγχωρεῖν πάντως διατάξαντος. ὅθεν Ἄφετε αὐτὸν (τὸν Σεμεῒ δηλονότι) φησὶν ὁ Δαυὶδ, καταρᾶσθαί με, ὅτι εἶπεν αὐτῷ κύριος. [Βασιλ. β.] καὶ ὁ Προφήτης, Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ κύριος [κεφ. ις.] μυίαις, καὶ τὰ ἑξῆς. [Ἡσαΐας] καὶ ἐν τῷ Ἰεζεκιὴλ, Καὶ ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ Τὺρ τὸν Ναβουχοδονόσορ, βασιλέα Βαβυλῶνος. [Ἰεζεκιήλ. κς.] ὃς τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ, καὶ τὰ λοιπά. ἐν τούτοις οὖν πᾶσι δείκνυται ὁ θεὸς εἰς τὸ τὰ δίκαια ἑαυτοῦ κρίματα ἀποπληρῶσαι, τὰς μοχθηρὰς εἴτε τῶν ἀνθρώπων, εἴτε τῶν δαιμόνων θελήσεις, οἷς βούλεται τρόποις, εἴτε ἔνδοθεν, εἴτε καὶ ἔξωθεν, καὶ ἐπεγείρειν εἰς τὸ θέλειν, καὶ διευθύνειν εἰς τὸ τελεσθῆναι, καὶ τάττειν εἰς τὸ ὑφίστασθαι ἐν οἷς πάντως τὸ τοιούτους εἶναι, τοῦ θεοῦ οὐκ ἔστι. τὸ τέλειον δὲ, καὶ μάλα. Τούτοις ἕποιτο τις ἂν ὅτι πλείστους τῶν διδασκάλων τῆς καθ' ἡμᾶς ἱερᾶς ἐκκλησίας

συμφωνῶ

σωφρόνως ὑπομεμνημένοις, καὶ δὴ καὶ τοῦ Πτολεμαίου ἐκείνου Σαυλέτου, ἐν οἷς καὶ Ἀνδρονίκου φέρεται τοῦ Βυζαντίου. Ἡ δὲ τῶν ἀρρήτων ἱερουργιῶν τοιαύτη ἐστὶν οἰκονομία τε καὶ διάθεσις, οὕτως ἀφανές τε καὶ κεκρυμμένον καθέστηκεν, ὡς καὶ αὐτοὺς τοὺς τελουμένους θέλοντας, ἐν αἷς γίνονται, λανθάνειν. αἱ τὴν οἰκείαν καὶ μόνην αὐτοεξουσίαν ἀγαθὴν οἴονται, τὴν ἐκ προαιρέσεως ἑαυτοὺς κινεῖσθαι καὶ αἰσθάνεσθαι αἰσθάνεσθαι. τὸ γὰρ μὴ αἰσθέσθαι μεθ' ἀναισθησίας, τὸ ὅτι διδάσκονται, ἀλλ' ὅλως αἰσθάνονται, καὶ προηγουμένην τοῦ πάθους ἔχειν αἰσθήσεως ὅλως οὐκ ἴσασιν. Ὅτι δὲ οὐκ αἴτιος οὐδαμῶς ἐστι τοῦ κακοῦ ὁ θεός, ἀλλ' ὅτι πάθει ταῦτα ἐᾶν γενέσθαι, ἵνα καὶ τούτων ἀγαθόν τι προέλθῃ, ὧδέ πως ἄν τις σαφῶς παραμυθήσαιτο. Φύσει ἀγαθός ἐστιν ὁ θεός, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα ἀγαθοπρεπῶς προαγαγὼν αἰτία. τοῦ οὖν εἶναι πᾶν ὅπερ ἐστί, καὶ τοῦ ἀγαθοῦ καὶ μόνον ἕνεκα εἶναι, αὐτός ἐστιν αἴτιος. τοῦ κακοῦ ἄρα οὐκ ἔστιν αἴτιος. καὶ διὰ τοῦτο καὶ αὐτὸς ἀγαθόν ἐστι τὸ ἀκρότατον, ὑφ' ὃ κατ' οὐδὲν ἐλλεῖπον, ἀγαθόν ἐστι. ἐλλείψει δέ, καὶ προσφυῶς εἰπεῖν, μακρυνθὲν ἑαυτοῦ ἀπ' αὐτοῦ, καὶ πάνυ κακόν. οὐκ ἔστι δὲ ἐλλείψεως αἴτιος, τουτέστι τοῦ εἰς τὸ μὴ εἶναι ῥοπῆς, ὁ τοῦ εἶναι αἴτιος, ὁ πάντων τῶν ὄντων προαγαγεύς. τὰ γὰρ ὄντα, καλά ἐστι, ἀγαθά ἐστι. Ἀλλ' ὥσπερ πασῶν τῶν ἀγαθῶν φύσεων ἄριστός ἐστι δημιουργός, οὕτω δὴ καὶ τῶν μοχθηρῶν θελήσεων διατάκτης δικαιότατος. ὡς τε καλῶς ἐκείνων τοῖς φυσικοῖς ἀγαθοῖς χρωμένων, καὶ τῶν μοχθηραῖς τούτων καλῶς κεχρῆσθαι θελήσεσιν. οὐδὲ γὰρ οὐδένα τῶν ἀγγέλων ἢ τῶν ἀνθρώπων ἂν ἔκτισε, καλὸν ἔσεσθαι τοῦτον προγνωκώς, εἰ μὴ ἐξίσου προήδει καὶ τίσιν ἀγαθῶν χρείαις τούτους ἂν ἐφαρμόσοι. καὶ οὕτω τὴν τῶν αἰώνων τάξιν ὥσπερ τι ἐναρμόνιον μέλος, καὶ τισιν ἀντιθέτοις καλλικαλλωπίσειν φάσμασιν. ἴσα δ' ἂν ταῦτα, οἷοις ὅτι μάλιστα ἐλλείψαι τὸ καὶ ἁρμόζοντος

ξίοντος τὸ χωρίον ἑαυτοῦ ὁ θεῖος διηρμήνευσεν ἀπόστολος, φημὶ δὴ, τὸ, Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. ὥσπερ γὰρ τῇ τῶν ἐναντίων ἑαυτοῖς πρὸς ἄλληλα ἀντιθέσει, τὸ τοῦ λόγου κάλλος ἀποτελεῖται, οὕτως οὐ ῥημάτων, ἀλλὰ πραγμάτων οἷον τινι ὁμιλίᾳ τῇ τῶν ἐναντίων ἀντιθέσει τὸ τοῦ αἰῶνος κάλλος συνυφαίνεται. καὶ τινα παναρμόνιον φθόγγον ἔκ τε τῶν ἀγαθῶν, καὶ τῶν μὴ τοιούτων εἰς τὴν τοῦ ὅλου ἁρμονίαν ὁ δημιουργὸς συντίθησι καλῶς. ἔοικε τὸ τῆς θαλάσσης μεγαλοπρεπὲς τῇ μὲν τῆς φύσεως τάξιν τηρῆσαι περιλαβεῖν, τῷ δὲ τοῦ δικαίου θεοῦ νεύματι, τοῦ τὸ πᾶν τοῦτο κάλλιστα τέθεντος παρὰ τοῦτο διαπεπλάσθαι. ἄλλο γὰρ τὸ τὴν τάξιν τηρεῖν, καὶ ἄλλο τὸ ταύτῃ διαφυλάττεσθαι. καὶ ὑπὸ νόμοις γίνεται πάντως ὁ παρὰ νόμους μὴ ἀναζευγνύμενος. Ἡ μὲν οὖν τὸ πᾶν τοῦτο ἀρρήτοις προνοίας τρόποις διακυβερνῶσα τοῦ θεοῦ δύναμίς τε καὶ θέλησις, τὴν τοῦ οἰκείου ἔργου ἐν πᾶσι τοῖς τε ἀγαθοῖς καὶ τοῖς μὴ τοιούτοις ἰσχὺν ἐπιδείκνυσι. καὶ ἐν μὲν ἐκείνοις, διχῶς, ἵνα καὶ ᾖ ἅμα, καὶ τεταγμένα διαμένωσιν. ἐν τούτοις δὲ, μοναχῶς, ἐν οἷς οὐ τὸ εἶναι, ἀλλὰ τὸ τεταγμένως εἶναι ταῦτα ἐργάζεται. ἐφ' ἅπερ ὢν ἀγαθὸς ὁ θεὸς, κακόν τι τοῖς ἰδίοις ἐνυπάρχειν ἔργοις ἂν παρεχώρησεν, εἰμὴ οὕτως ἰσχυρός τε ἅμα καὶ ἀγαθὸς ἦν, ὥς τε καὶ ἐκ τοῦ κακοῦ ἀγαθόν τι ἐργάζεσθαι. καί γε πολλῷ κρεῖττον ᾤετο, ἐκ τῶν κακῶν ἀγαθόν τι προβάλλειν, ἢ μηδὲ εἶναι συγχωρῆσαι κακόν. οὐ μέντοι τὸ κακὸν διὰ τοῦτο ἐγένετο, ὡς ἂν συντεχθείη ἄπειρα. ἀλλ' ἐπειδὴ ἐγένετο, ὑπὸ τῆς θείας προνοίας συντάττεται. καὶ τοῦτο ἡ μεγίστη δήπου δύναμις, τὸ καὶ τοῖς κακοῖς χρῆσθαι καλῶς, καὶ τοῖς ἐξ ἡμῶν γινομένοις ἀμόρφοις, εἰς μορφὰς ἐπιτηδείους συντελεῖν δύνασθαι. Ἀλλὰ καὶ ἃ πάσχουσιν ὑπὸ τῶν φαύλων οἱ σπουδαῖοι, καὶ ταῦτα πάντως τούτοις λυσιτελεῖ, ἢ πρὸς τὸ τῆς οἰκείας ἁμαρτίας, ἢ ποίας

τάχα

τάχα δὴ ἐποίησεν τοῦτο, ὑπομιμνήσκων τι καὶ ἐξαλείφων παντάπασιν, ἢ πρὸς τὸ γυμνάζειν τι καὶ δοκιμάζειν τὴν σφῶν ἀρετήν, ἢ καὶ πρός τι, τὸ τῶν παρόντος βίου ὑποδεικνύειν ἐθέλουσαν. ὅπου δὲ καὶ τοῖς ἐναντίοις αὐτοῦ τὰ πάντα εἰς ἀγαθὸν συνεργεῖν, ὁ θεὸς αἴτιος γίνεται. ὥστε καὶ εἴ τινες αὐτῶν τάχα που τῶν ἀκριβολογιῶν ποτὲ καὶ ὁπωσοῦν παραπεσοῖεν καὶ παρεκκλίνοιεν, καὶ τοῦτ' αὐτοῖς εἰς ἀγαθὸν ἀπαντῆσαι ἀσφαλίζεσθαι. ἐντεῦθεν γὰρ καὶ ταπεινότεροι, καὶ ἐπιστημονικώτεροι εἰς τὸ μέλλον, καὶ ἵν' οὕτως εἴπω, περιβλεπτικώτεροι γίνονται, καθὼς καὶ τὸ τοῦ Πέτρου παράδειγμα προφανῶς παρίστησιν. Ἀλλὰ κἂν ἀδικήσῃ τὸν ἀγαθὸν ὁ φαῦλος, ἐξ ἀλογίας τινός, ἢ φθόνου, ἢ ἄλλου του τοιούτου πάθους παροξυμμένος, ἀκαίρως μὲν ὅλως οὐ κατὰ τάξιν χωρεῖ. ὁ δὲ θεὸς τὴν τῆς ἁμαρτίας ἀταξίαν, εἰς τάξιν ἄγει, οἷα δὴ ἄριστος τεχνίτης, πρὸς τὸ κοινὸν τῆς ἐργασίας εἰς ἀγαθὸν τῷ κακῷ χρησάμενος, ἀναλαβὼν τοῦτο, καὶ συναρμόζων οἰκονομικῶς, καὶ ὅλως πρὸς τὸ ὅλον συντάττων. ὥστε τὸ γινόμενον ἀδίκημα, τῷ μὲν πράξαντι, κακόν, καὶ ἀδίκημα, καὶ οὐκ ἀφείδει τῆς αἰτίας ὁ δράσας, οὐδ' ἁπλῶς τὴν δίκην ὑποδιδράσκει. τῷ παθόντι δέ, οὐ κακόν, ἀλλὰ χρήσιμον, καὶ δι' ἃ τέως εἰρήκαμεν, καὶ ὅτι προξενεῖ εὐδαιμονίας αὐτῷ τὸ πάθος προεξένησε, καὶ εἰς τὸ συμφέρον τῷ κοινῷ συντελεῖται. κἀκεῖνα δὲ καθάπερ τὰ τῷ ἁμαρτάνειν τὸ οἰκεῖον ἀποβάλλειν πεφυκότα κάλλος, καὶ ὀλίγα πρότερον καὶ αὐτὰ ὀρθῶς τεταγμένα, συνοῦ τῷ ὅλῳ ἀγαθά, μὴ ὄντα οὐ δύναται. ὁ γὰρ εἰς τὸ ἄριστον τὰς φύσεις δημιουργήσας, πῶς ἁμαρτάνοντας δικαιότατα τάττει, καὶ πῶς διαπράττει, ὥστε εἰ καί τι δρῷτο ἀσχημόνως εἶδος μεθ' ἑαυτοῦ ἐπιφέρον, τῷ μέντοι τοῦ ὅλου κάλλει καὶ οὕτω καὶ αὐτὸ συντελεῖν. Οὕτω μὲν οὖν ἡμῖν καὶ διὰ ταῦτα ἡ τῶν κακῶν ἐν τοῖς οὖσιν οὐδέν τις φαινομένη ὕπαρξις, οὐκ οὐδ' εἴτε καλῶς εἴτε καὶ ἄλλως, ἀλλ' ἐν ἀναλογίας ὥσπερ ἐπὶ χολῆς τι-

νος

νος δ' ὑπὸ τῶν ἔξωθεν θεωρηθεῖσα, καταπεπληγμένη τε ἅμα καὶ ἐς δυσφημίαν διακρίνεται. Ἐπεὶ δὲ τὸ τῇ καθ' ἡμᾶς ἱερᾷ ἐκκλησίᾳ, ταυτὸ δ' εἰπεῖν, τῷ κρείττονί τε καὶ τιμιωτέρῳ τοῦ ὅλου μέρει, ἐπεισερρύηκε ἤδη κακόν, τῇ παντοδυνάμῳ τοῦ θείου προνοίᾳ τε καὶ θελήσει, ἀλλ' ὑπό τινι θεοπρεπεῖ καὶ πιστοτάτῳ ὀργάνῳ, τῇ σῇ χρηστομαθοῦς ἐπιμελείᾳ, ἀρχὴν ἤδη τοῦ τάττεσθαι εἴληφε, πέπεισμαι δ' ὅτι καὶ ἐς τὸ κρεῖττον ὁδῷ βαδίζον τεχθήσεται, ἄγε δὴ συνεπεργασεῖν τι ἐκείνῳ πρὸς τοῦτ' αὐτὸ καὶ εἰς τὴν τῆς ἡμῖν ἐμπορίας τε καὶ διαβολῆς κατάλυσιν, πρὸς τὴν ἀσεβείας αὐτῆς, παντελῶς ἀπαγαγόντα δέηται. καὶ γὰρ οὐδ' οἶδ' ὅτι ἐκεῖνο καὶ πάλαι καὶ πάνυ πρὸς τοῦτο εἴωθας, καὶ συνεργὸν δ' ὅμως καὶ σου τὴν ἱερὰν χεῖρα ἐπιζητεῖ πρὸς τὴν τοῦ ἔργου ἀναπλήρωσιν, εἴτε συνεκδικοῦντα ἡμᾶς, εἴτε καὶ συμφιλανθρωπευομένην. καὶ γὰρ δίκαιον καὶ ἡμᾶς αὐτοὺς τοιούτους τοῖς πεπλημμεληκόσι παρέχειν, οἷοι καὶ πρὸς ἡμᾶς ηὐδόκησε τὸ θεῖον πλημμελοῦντας ἀχθῆναι, καί, συλλήβδην εἰπεῖν, φιλανθρωπεύεσθαί τε τὸ νῦν καὶ συνδιατίθεσθαι. καὶ γὰρ ἤδη γέγονεν, ὡς μὴ ὤφελε, τὸ κακόν. τέτακται δὲ τοῦτο θεὸς μυστικώτερον, καὶ οὐ τὴν ἡμετέραν λέληθεν αἴσθησιν. πλὴν ἀλλὰ καὶ σὺ πρὸς τοὔργον ἐπιμελήθητι, καὶ τὴν εἰς τοὐμφανὲς ἀπαιτεῖ τῆς βελτιώσεως ἔνδειξιν, ἵνα μὴ γαγγραίνης τρόπον ὑφέρπον ἐκεῖνο, τὰ καίρια τῶν ψυχῶν νεμόμενον, ἐπιβλάπτηται, ἀλλ' ἐφ' ὅσον ἐπιμελείας γέγονεν, ἢ μᾶλλον εἰπεῖν, ἄνωθεν ηὐδόκησε παρακεχώρηται, τοῦτο δὴ καὶ ἐπὶ τῶν ἔργων αὐτῶν ἐστὶ ἀποδειχθῇ. καὶ γὰρ πάντα καὶ πάντως εἰς τοῦτο τελευτῆσαι ἐπάναγκες. ἴσως δὲ τάχιον ἡ ἱερά σου χεὶρ συναντιλήψεται τῷ θείῳ. τοσούτῳ τῷ ἄριστα διοικοῦντι καὶ συμφερόντως τὰ καθ' ἡμᾶς τάττοντι, καὶ ἀκριβέστερον γενήσεται. Ἔρρωσο, Μεταγειτνιῶνος τρίτῃ ἐπὶ δεκάτῃ, κατὰ τὸ ͵αφζ' ἔτος τῆς ἐνσάρκου τοῦ σωτῆρος ἡμῶν οἰκονομίας.

ΜΑ-

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ

Δαυίδῃ τῷ Ἑσχελίῳ, ἀνδρὶ σοφωτάτῳ, εὖ πράττειν.

Καὶ βασιλεῖ ποτὶ ὕδωρ προσενεχθὲν, οὐ πρὸς τὸ τοῦ δώρου μικροπρεπὲς, ἀλλὰ πρὸς τὸ τοῦ δωρουμένου πρόθυμον ἀποβλέψαντι, οὐκ ἄχαρι πάντως τὸ δῶρον ἔδοξε. καί σοι πρὸς τοῦτ' αὐτὸ, ὃν εἰς σὲ φιλαδελφούμεθα ἀφορῶντι (οἷς γὰρ δυνάμεθα τοῦτο πράττομεν, μὴ οὐχὶ οἷς ἂν προελοίμεθα) οὔ τοι γε τὰ παρ' ἡμῶν, ἄλλως τε καὶ σοῦ τὰς τοιαύτας ἡμῖν ὑπεκκαύσαντος ὕλας, ἀπόβλητα. εἰ δὲ μὴ, διαμείνω, κἂν τοῖς πρὸς ἡμᾶς σου γράμμασι τὰ τῆς προαιρέσεως διαχάραχθε, καί σοι ὧν διενοχλήσαμεν τοῦ λοιποῦ, τῶν ὑψηλοτέρων σὺ τάχα θεωρημάτων, διὰ τῶν χαμερπεστέρων τούτων καθέλκοντες. μὴ ποτε δὲ καὶ Τεύκρῳ ποτὶ στρατευομένῳ, τῇ τῆς ἀσπίδος προβολῇ Αἴας οὐκ ἀσύμφορος γέγονεν. οὕτω που καὶ Μάξιμος ἴσως, ἔν ποι γοῦν, Ἑσχελίῳ ἀλυσιτελὴς εἰς τὰ δόξαντα. Δέξαι οὖν φιλοφρόνως καὶ τοῦτο παρ' ἡμῶν, καὶ ἀκριβῶς τῷ ἀδελφῷ σοὶ Βασιλείῳ προσάγαγε. κἂν μὲν σοι γνήσιον δόξῃ τὸ κύημα, καὶ ἥλιον ἴδοι ποτὶ κατευνάζοντι. εἰ δ' οὖν, ἵνα μὴ καὶ τὴν γοῦν καταργῇ, Ἡφαίστῳ παραδοθήτω παρανάλωμα. ἔῤῥωσο ἀνδρῶν σοφώτατέ μοι καὶ προσφιλέστατε. Ἐνετίῃσι, Μαιμακτηριῶνος πρώτῃ ἐπὶ δεκάτῃ, κατὰ τὸ, αφϛ' ἔτος τὸ σωτήριον.

Ὁ αὐτὸς τῷ αὐτῷ.

Ὑπῆρξα σου τῷ προστάγματι. καὶ εἰ μὲν ὡς ἔδει, καὶ σὺ ἐπόθεις. κοινὸν μὲν ἀμφοῖν τὸ τῆς ψυχῆς ἔστω ἀναφαίρετον· σοὶ δ' εἰκότως καὶ τὸ πλέον, ἅτε δὴ αἰτίῳ γενομένῳ τοῦ θεοειδεστάτου ἐξηγήματος, σοφώτατέ μοι Ἑσχέλιε. εἰ δ'

ἐγ·

καὶ τὸ μηδένα ἐπιτρέπειν συγχωρεῖν τοῖς μέγα δυναμένοις τῶν πολιτῶν τὴν ἀρχὴν τῶν πλάνων ἰσχύειν, παράδειγμα τὸ Θησέως ἢ τοῦ Πεισιστράτου ἐπίθεσις, καὶ ὅλως τὰ τοῖς ἄλλοις κατορθώματα, ἢ συμφοραί, ἐν ὅροις δὲ δείγματα γίνεται. Τὸ δ' αὐτὸν ποιεῖν (ὃ δεύτερον εἶδος εἰρήκαμεν τοῦ παραδείγματος) διεῖλεν ὁ Ἀριστοτέλης διχῆ· εἴς τε τὴν παραβολήν, καὶ τὸν λόγον ἤτοι μῦθον. Ἔστι δὲ παραβολή, παράδειγμα ἀπὸ τῶν εἰκότων καὶ ἀνθρώποις γιγνομένων λαμβανόμενον. οἷον εἰ δεῖ τοὺς ἐπιτηδεύοντας τῶν φίλων ἐκπέμπειν, τοὺς δὲ κολακεύοντας προσίεσθαι. καὶ γὰρ παράδειγμα ἂν εἴη, ὡς τοὺς μὴ ἐπισταμένους τῶν ἰατρῶν ἀποπέμπειν, ὅτι τοῖς ἀνιαροῖς τῶν φαρμάκων τὴν θεραπείαν χαρίζονται, τοὺς δὲ ἡδέσι καὶ προσηνέσιν ἐπακολουθοῦντας ἀσπάζεσθαι. κρατοῦντα ἴσως δεῖ μὴ πιστεύειν [illegible] τοὺς ἀρχιερατεύοντας, ἀλλὰ μὴ αἱρεῖσθαι. ὅμοιον γὰρ ὥσπερ εἴ τις τὸν μὲν ἀκριβῶς εἰδότα τὰ τῆς φαρμακευτικῆς τῶν φαρμάκων ἐκ πρώτης φροντίδος, τῷ δὲ ἀβελτέρῳ, αἴσχιστῳ δὲ καὶ βαρυτάτῳ φάρμακον ἐγχειρίζει τὸ τοιοῦτον, ὥστε χωρίον ἐπιτηδεύειν τὰ ἄνυδρα καὶ ἔρημα, ὥστε λύκους προσκαλεῖσθαι, ὥστε τὸ ἀξίωμα ἐπιτάττειν, ὁ δὲ γεωμέτρης ἐστὶν ἀρετή, ὅτι τε γινώσκει καὶ ἐπὶ νομὰς εἰσελαύνει, καὶ ἐξελαύνει, ὅτε αἰσθάνεται ἐθέλοντι. Ἕτερον. Ῥᾷον ἡ μουσική, καὶ προέχουσα εἰς [illegible] ὁ δῆμος. Ὥσπερ γὰρ ἄν τις ὁ λέγει κακίας μεταλαβεῖν [illegible], ἢ ἀρετῆς βαθείας [illegible] καὶ μάλιστα μετὰ μικρὸν ἀφίενται, τάχιστα μεταδιδόασι τοῦ [illegible]· μᾶλλον δὲ, ὥστε τὰ [illegible] γλυκύτατος. καὶ μικρὰ μετὰ [illegible], [illegible] ἄλλον ἐλπίσειεν ἂν ἐπὶ τὸ [illegible], ἐθέλοιεν δὲ ἂν [illegible], μᾶλλον ἂν δυνηθεῖεν καὶ τὸ καρτερικώτερον ὅρμημα. Μῦθον δὲ παράδειγμα εἶπεν ἰδίως καὶ ἐπὶ [illegible] τῶν ἄλλων. ὁ δ' Ἀριστοτέλης [illegible] ἐστιν. Αἴσωπος ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη· Ἀλώπεκα δια-

βαίνου[illegible]

βαίνουσαν ποτὲ ποταμὸν, ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δὲ ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραιστὰς πολλοὺς ἔχεσθαι αὐτῆς. Ἐχῖνον δὲ πλανώμενον ὡς εἶδεν αὐτὴν κατοικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραιστὰς, τὴν δὲ οὐκ ἐᾶν. ἐρομένου δὲ διὰ τί, φάναι ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα. ἐὰν δὲ τούτους ἀφέλῃς, ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. ἀτὰρ οὖν καὶ ὑμᾶς ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει. πλούσιος γάρ ἐστιν. ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἱ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες: Δεῖ δὲ ἐν τούτοις ὡς οἷόν τε τὸ ὅμοιον ὁρᾶν. παραδείγματος γὰρ ἀρετὴ, τὸ παραβάλλειν ἐστὶ, ὃ παραβάλλεσθαι ἔοικεν· ὡς ἂν διὰ τῆς ἰσότητος ὁμοιότητος ἐναργοῦς, διδασκαλικόν τε καὶ πειστικὸν γένηται:

Εἴδη δὲ ἐστι τοῦ γένους τῶν λόγων (ἀμφοτέρως γὰρ οἶμαι τῷ Ἀριστοτέλῃ ὠνομασμένων) παρὰ πάντων τρία ὡμολόγηνται ταῦτα. ἐν οἷς πᾶσα ἡ τῶν Ῥητόρων κατασκευάζεται τεχνολογία τε καὶ σπουδὴ ἀναστρέφεται, καὶ ὧν ἐστιν ἀνεπίδεκτος. Τὸ δημηγορικὸν εἶδος. ὃ πολλῷ λέγειν ἐν ταῖς βουλαῖς ποιοῦσιν οἱ Ῥήτορες. Τὸ δικανικὸν, ᾧ ἀεὶ ἐν δικαστηρίοις οἱ ἀμφισβητοῦντες πρὸς ἀλλήλους διαγωνίζονται. καὶ παρὰ ταῦτα Τὸ πανηγυρικὸν. ὃ τοῖς πανηγυρίζουσιν ἀποκεκλήρωται. οὐχ ὅτι μέντοι παντάπασιν ἀλλήλων αὐτὰ διακεκρίσθαι, ὡς ἀστεῖος ἐστὶ νομίσαι κατηγορίας τοὺς συμβουλεύοντας ἀπολογίας τοὺς δικάζοντας. ἔστι γὰρ ὅτε καὶ ἀναμίγνυνται ἀεὶ ὅλως ἀλλήλοις καταμέμικται. τὸ δὲ μέντοι ὑπὲρ ταῦτα, μάλιστα αὐτὸς τούτων τῷ πολιτικῷ λόγῳ ἐγκατείλεκται. ὁ μὲν Ἀριστοτέλης ἐς τοὺς ἀκροατὰς ἀναφέρει, ὅτι τρεῖς εἰσι. καὶ τὴν αἰτίαν ἐπάγει. ὁ γὰρ ἐπαΐων ἢ θεωρός ἐστι καὶ τοῖς πανηγυρίζουσιν ἴδιος ἢ κριτὴς, καὶ οἱ μὲν περὶ μελλόντων, τοῖς δημηγοροῦσιν ἀκούειν ἐπιτάσσει. οἱ δὲ περὶ γεγονότων, τοῖς ἀμφισβη-

τοῦσιν

[illegible] ... Ἀριστοτέλης [illegible] ... τὸ μὲν συμβουλευτικὸν [illegible] ... τὸ δὲ δικανικὸν [illegible] ... τὸ δὲ πανηγυρικὸν [illegible] ...

[illegible] ... τοῦ μὲν συμβουλευτικοῦ, τὸ συμφέρον καὶ ἀσύμφορον· τοῦ δὲ δικανικοῦ, τὸ δίκαιον καὶ ἄδικον· τὸ δὲ καλὸν καὶ αἰσχρὸν τοῦ πανηγυρικοῦ [illegible] ... Ῥήτορος [illegible] ... πολιτικοῦ λόγου [illegible] ...

Μέρη τοίνυν τοῦ πολιτικοῦ λόγου, ὡς μὲν Ἀριστοτέλης δύο τούτων ἀναγκαῖα ἡγεῖται· τήν τε πρόθεσιν ἣν καὶ πρόβλημα λέγει, καὶ τὴν πίστιν ἣν καλεῖ καὶ ἀπόδειξιν. ἀναγκαῖον γὰρ τὸν [illegible] πάντως προειρηκέναι τὸ περὶ οὗ ἐπάγει τὰς ἀποδείξεις. τὸ γὰρ εἰπεῖν μὴ ἀποδεῖξαι, μὴ ὅτι ἀπίθανον, καὶ μάλα εὐήθους διανοίας ὡς πίστεως δεόμενον, ἀλλὰ δὴ καὶ γελοῖον. τὸ δὲ ἀποδεῖξαι μὴ προθέντα, καὶ ὅλως οὐ δυνατόν. Διὰ μέντοι τοῦ ἀκροατοῦ τὴν φαυλότητα, ἐγχωρεῖν ἐνίοτε μετὰ τῶν ἐλέγχων καὶ τὸ προοίμιον. Τὴν δὲ προκατάληψιν ἐν μετὰ τὸ προοίμιον τιθέασι τῶν πάλαι ῥητοροδιδασκάλων ἔνιοι, καὶ τῶν νῦν οἱ πλεῖστοι, τήν τε προκατάστασιν, ἣν μετὰ τὴν πρόθεσιν ἤτοι διήγησιν (ἀμφοτέροις γὰρ [illegible] τῷ τῆς προθέσεως ὀνόματι) συνάπτουσι. προκατάστασίν τε προσέτι, τὴν μετὰ τὴν πίστιν [illegible], καὶ ἄλλα ἄττα ἐπινοοῦσι τινὲς περὶ τὸ [illegible] τοῦ λόγου [illegible] μέρη, [illegible] ἀπαρτιζόντων(?), καὶ ἀνόνητον βάρος τοῖς λόγοις [illegible]. ἐν γὰρ τῷ τῆς προθέσεως [illegible] διηγήσεως ἀξιοῦσι προτιθέναι προκατάληψιν, τῇ πίστει ἐμπερίεχεται τὸ [illegible] τὸν ῥήτορα προσ[illegible] [illegible], καὶ [illegible] λύσει [illegible] τὰ [illegible]. [illegible] προκαταλήψεως [illegible]. τὸ [illegible] πάντως [illegible] ἀνασκευῇ τε μετὰ κατασκευῆς καὶ λύσεως καὶ ἀντιθέσεως [illegible]. [illegible] τῆς πίστεως ὀνόματι τῷ Ἀριστοτέλει [illegible]. οὐ γὰρ μόνον [illegible] διὰ κατασκευῆς [illegible] τὰ ἡμέτερα, ἀλλὰ πολλῷ μᾶλλον καὶ τὰ τῶν ἐναντίων ἀνασκευάζοντες, [illegible] ἀποφαίνοντες. Οὔτε μὴν οἱ τὴν προκατάστασιν τιθέμενοι [illegible] τι λέγουσι [illegible] [illegible]. ἡ γὰρ κατάστασις [illegible] ἐστὶ τῶν τε ὅλως [illegible] κεφαλαίων αὐτῶν ζητημάτων, ὡς ἔστιν ἰδεῖν παρ' Ἑρμογένει. ἥτις [illegible] πρὸ τῆς προθέσεως τάττεται, καὶ μέρος τοῦ ὅλου γίνεται προοιμίου. ἐμμαθεῖας

γὰρ

γὰρ ἔοικεν ὑποπεπτωκέναι. τοῦτο δὲ προοιμίῳ ἐστὶ φιλοτίμημα· νυνὶ δὲ καὶ τὴν πρόθεσιν, ὅτι καὶ προθέσεως χώραν ἀναπληροῖ. ὡς ἐκεῖ προεκδίδωσι τὰ περὶ ὧν ὁ μέλλων ἔσται λόγος, καὶ τοὺς ῥᾳθυμοῦντας ἐμποιοῦσι προσέχειν. Διὸ δὴ τὰ μὲν ἐπὶ ἄλλων ὡς περιττὰ καὶ ἀλυσιτελῆ παραιτούμεθα, μόνῃ τῇ τοῦ Ἀριστοτέλους τετραμερεῖ ἐπισυγχωρούμενοι διαιρέσει. Μετὰ γοῦν τὸ προοίμιον, τὴν πρόθεσιν ἔπειτα πρόβλημα τάξομεν, ᾗ συμπαραλαμβάνεται καὶ ἡ διήγησις· ἡ γὰρ πρόθεσις ἢ ἔκθεσίς ἐστι τῶν ὅλων ὑποθέσεως κεφαλαίων τε καὶ πραγμάτων, ἢ ἐπὶ ἤδη συμβάντων καὶ εἰργασμένων διήγησις. Μετὰ δὲ τὴν πρόθεσιν ἔλθοις ἐπὶ πίστιν συναψάμενος, ἥτις ἀναπεμπάζει τε ἐμπειρίας καὶ κατασκευάζει, καὶ ἁπλῶς ὅσα εἰς τοὺς ἀγῶνας ἀνήκει. Τελευταίῳ δὲ τῷ ἐπιλόγῳ χρησόμεθα, ἀναμιμνήσκοντες τοὺς ἀκούοντας τῶν προειρημένων, καὶ εἰς πάθος αὐτοὺς παρακινοῦντες· περὶ ὧν ἁπάντων ἐν τοῖς ἑξῆς διαληψόμεθα. Δεῖ δὲ τῶν λόγων προειρημένων, πολυειδοῦς τε καὶ συνθέτου.

ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

Εἴρηται ἐν ἄλλοις καὶ ὅπως ἡ τοῦ προοιμίου φωνὴ τὸ τῆς Κρατύλου παρὰ Πλάτωνι δοκίμως εἴρηται ἀπό· ἔοικεν δ' ἔπειτα τοῖς ὀνόμασι ὀρθότατά τινα πρὸς ἀνάδειξιν τῆς ἰδέας σημαινομένων, καὶ ἐν τοιούτῳ μέρει καὶ ὁμολογίᾳ τοῦ πρῶτος ὀνοματοθέντος ἐξηγητικὸν τὰ ὀνόματα. ἐοίκασι γὰρ ἡμῖν ἀεὶ ταῦτα τὸ πρόσρημα τὸ πρὸ πάντων τιθέμενοι λόγου, προοιμιάζοντες τὸν πρόσρημα. ἐκ τοῦ, πρὸ, μήτε, καὶ ἔ, οἶμαι, φωνῆς ἐν τινὶ ἄλλῳ μόνον, ἀλλὰ καὶ τῆς ᾠδῆς παραμυθητικῆς σημαινόμενον. ἐφ' ᾧ δὴ καὶ Ἀριστοτέλης τό τε ἐν ποιήσει πρόλογον, καὶ προαύλιον τοῖς προαυλοῦσι, συνάπτει τὸ προοίμιον. εἶναι γὰρ ὁμοίως, ἃ μὲν ποιητικὰ τῷ προλόγῳ, Αὐλητικὰ δὲ τῷ

τῷ προοιμίῳ τὰς τῶν προεστηκότων ἀκοὰς οἰονεὶ προευτελίζουσι, καὶ εἰς ταῦτα τὸ φῶς ἀναγείρουσιν. ὅπου τοι καὶ οἱ ἀμφὶ τοὺς Ῥήτορας, μετὰ τινὶ θελκτηρίοις παρηγμάμασι τῷ προοιμίῳ ἐξομαλίζουσι τὴν τῶν ἀκροωμένων ψυχὴν, καὶ ἡμαρτάνειν εἰς τὴν αὐτῆς ὑπόθεσιν ἀπεργάζονται. τοῦτο δὲ ἐστὶ καὶ ὁ τῆς ἐννοίας αὐτοῦ δηλωτικὸς παρόντος λόγος, ὡς ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ τῷ φιλοσόφῳ εἴρηται. Προοίμιον φησὶ καθόλου μὲν εἰπεῖν, ἀκροατῶν ἐστὶ παρασκευὴ, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις. Τοὺς μέντοι ἀκροατὰς τοιαῦτα εἰώθαμεν ὑπηρετοῦντας παρασκευάζειν, ἑτοίμους εὔνους τε ἡμῖν, καὶ τοῖς ἐνδεικνυμένοις προσέχοντας, καὶ εὐμαθεῖς κατεργάζεσθαι. Τοιγάρτοι ἐντεῦθεν συναγαγεῖν ἐστὶ τὰ τοῦ προοιμίου ἔργα. εὔνοιαν, προσοχὴν, εὐμάθειαν. ἅπερ ἅμα πάντα ἐμφιλοχωρεῖν δεῖ παντὶ προοιμίῳ, ἐν παντὶ οὖν ἐστὶν ἀναγκαῖα. ἀλλ' ἄλλα τὸ, τε εἶδος τοῦ λόγου, καὶ ὁ τῆς ἀκροατοῦ διάθεσις ἀπαιτεῖ. ἔστι δ' ὃ καὶ ἐλλογιμώτερος τοῦ προοιμίου ὁ Ῥήτωρ ἐλλογιμεῖ, ὡς ἐν τοῖς ἑξῆς εἰσόμεθα. ἐν οἷς μέντοι χρεία ἂν καὶ δῆλον ἂν νῦν ἀποτρέψαιμεν, τὰ νῦν προσεχέστερον εἰπεῖν.

ΠΕΡΙ ΕΥΝΟΙΑΣ.

Εὔνοια μὲν νῦν ἐπεθέμην καὶ ἄλλοις τόποις, μάλιστα δὲ ἐν τέτταρσι τούτοις. ἐπαίνῳ τῶν ἀκουόντων, συστάσει τοῦ ἰδίου προσώπου. ἐκ διαβολῆς τῶν ἀντιδίκων. καὶ λύσει τῶν ἀντικειμένων. ὧν τὸ μὲν πρῶτον ἐστὶ παράδειγμα τὸ τοῦ Ἰσοκράτους ἐν πανηγυρικῷ. Εἰδότας ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόναι καὶ τὰ ἑξῆς. τό, τε δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων, ἐν ᾧ ἐπαγγελίᾳ ὁ Ῥήτωρ ἐπαινῶν τοὺς Ἀθηναίους ὡς χρημάτων ὑπερόψας, καὶ τοὺς πολλοὺς ἐθελομένους τὸ συμφέ-

ρον τὸ πόλεως, ὃ παρ' ἐκείνοις ἄνευ σχετλιάζεται. τοιού-τοις προοιμίοις καὶ οἱ Κορίνθιοι κέχρηνται πρὸς Λακεδαι-μονίους ἐν τῇ πρώτῃ τῶν ξυγγραφῶν Θουκυδίδου. καὶ αὖθις ταύτῃ τὸ Κλέων, ὡς πρὸς Ἀθηναίους ἐν τῇ τρίτῃ:

Τὸ δὲ βέλτιστον, τὸ περὶ Στεφάνου μάλιστα προσφυές. ἔνθα ὁ Ῥήτωρ τοῖς πολίταις ἑαυτὸν συνιστάς τι, φιλάνθρωπον αὐτῷ καὶ ἄνευ μὲν ἔρωτος τ' ἐπιδεῖ, καὶ τοῦτο παρ' ἐκείνοις τοῖς ἴσοις μᾶλλον ἀντιπαστεῖ. Πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα: ¶ Ἐκ δὲ ἀσελγείας τῆς ἀντιδίκου παρασημειώσας τῷ Ῥήτορι ὁ κατὰ Μειδίου λόγος. Τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' ὑμῶν, οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι. καὶ τὰ ὅμοια. τοῦ τοιούτου δὲ γένους καὶ ὁ περὶ τῶν ἐν Χερρονήσῳ καὶ συμμαχιῶν λόγος, εἰς ἐντυχεῖν ῥᾷον ἐπιδεῖξαι ὑμῖν προοίμιον γένοιτο. ¶ Ἐκ δὲ τῶν ἀναποδείκτων λύσεως. Λοιπὰ γοῦν ὅσα ἐκ τῆς τῶν ἀναποδείκτων λύσεως. ἃ καὶ πολυχρηστῇ τὴν σκέψιν εἰλήχασιν, ἅτε δὴ καὶ τὰ ἀναπόδεικτα. τὰ μὲν γὰρ αὐτῶν τὸ διάφορον ἀνακαλεῖσθαι τῶν προοιμίων χρόνων, ἐξ ὧν ὁ λόγος συνίσταται. τὰ δὲ ἐκ τῶν πραγμάτων αὐτῶν ἀναφύεται, καὶ τὰς αἰτίας δι' ἃς ὁ λόγος. ἐστὶ δὲ προοίμιον ὅ τι τῶν χρόνων ἀναλαμβάνει, περὶ ἃ καὶ καθ' ἃ πάντα εἰκὸς ἐστὶ τὰς ἀμφισβητήσεις τε καὶ κρίσεις συνίστασθαι τῆς συνουσίας ὑπαίτια. ἐπεὶ καὶ φιλεῖ αὖθις ταῦτα ὡς τὰ πολλὰ παραγίνεσθαι ἡ ἀλήθεια:

Ἐκ μὲν οὖν τῶν προσώπων τοιάδε ἀναπόδεικτα ἐκλέγεται. περὶ φέρε εἰπεῖν, τίς ὢν λέγει. καὶ πρὸς τίνας. ὁ νεώτερος πρὸς πρεσβυτέρους συνέσει τε καὶ σοφίᾳ κεκοσμημένους, ὃ μάλιστα τῷ Ἰσοκράτει δοκοῦντα ἐν Ἀρχιδάμῳ. Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς

πόλεως

πόλεως ποιήμασι, καὶ τὰ λοιπά. καὶ Δημοσθένης ἐν τῷ πρώτῳ τῶν κατὰ Φιλίππου. ὁ πάλιν, ὅτι τις προσελθὼν ἄν, δημηγορεῖ περὶ τὰ εἰωθότα, καὶ εἴ τις μηδὲν πρότερον εἰρηκώς. οἱ γὰρ τοιοῦτοι καίριοι ἕνεκα τινὸς ἰδίου δεῖ τὸ λέγειν ἑρμηνείαν δικαιοῦσιν. ἐπεὶ ἐὰν συντόμως λέγῃ, τοῦτο γὰρ οὐχ ὅπως πολυπράγμων, ἀλλὰ καὶ ὕβριν διὰ τὸ κέρδος ἐμποιεῖ τοῖς ἀκούουσι. καὶ ταύτην τοιγαροῦν ὑπερβαίνειν δεῖ τὴν ὑπόνοιαν, τὰς αἰτίας ἀναφέρων, ἢ εἰς τὴν ἀνάγκην τῶν συμβουλευόντων, ἢ εἰς τὸ μέγεθος τοῦ κινδύνου, ἢ διὰ τὸν ἀντίδικον, ἢ ἐπ' ἄλλο τι τοιοῦτον. ὡς ἄλλοι τε, καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Λεώχαριν. Αἴτιος μέν ἐστι Λεώχαρις οὑτοσὶ ὦ ἄνδρες δικασταί, τοῦ καὶ αὐτὸν κρίνεσθαι, καὶ ἐμὲ νεώτερον λέγειν ἐν ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσήκει αὐτῷ, καὶ ὑπὲρ τούτων ψευδῆ τὴν διαμαρτυρίαν πρὸς τὸν ἄρχοντα πεποιημένος. καὶ τὰ λοιπά. Εἶτα ἂν κατά τινος λέγῃς τῶν ἐν τῇ πόλει λαμπρῶν τε καὶ περιβλέπτων, αὐτὸς ἀφανὴς ὤν, ἢ γένει μὴ ἰσούμενος, καὶ ταῦτα εἶναι δείκνυε ἐφ' οἷς ἕκαστος ἀδικούμενος παρὰ τοῖς ἀκούουσι. προσηκόντως γὰρ πολὺ πρότερον ἐν προοιμίοις θεραπεύεται τὴν τοῦ ἀκροατοῦ διάθεσιν, εἶτα καὶ δεῖ τὸν ἄλλον λόγον ἐπιέναι. τοῦτο εἴρηται ἐν τῷ πρώτῳ πρὸς Πλάτωνα Ἀριστείδῃ περὶ Ῥητορικῆς ἐφιλοτιμησαμένῳ. Οἶμαι δεῖν ὅστις μέλλει τὰ δέοντα ἐρεῖν, ὃ φασιν κύριος ὀρθῶς εἶναι, μὴ τοῦτο σκοπεῖν, μηδὲ βασανίζειν, εἴ ποτε περὶ προτέρων καὶ δόξαν ἔχει τῶν ἑτέρων εὑρῆσθαι περὶ αὐτῶν συμβέβηκε. καὶ τὰ ὅμοια. Σκοπεῖν δὲ καὶ πρὸ πάντων χρή, εἰ περὶ πρὸς ἔχθραν τις ἐστὶ περὶ οὗ ὁ λόγος, εἰ περὶ ὑποψίαν, καὶ περὶ ἀφ' αἵματος. ἐν οἷς δεῖ ὑποψίας ἐκτὸς ὁ Ῥήτωρ, μὴ ὑπ' ἀγνοίας ἢ μίσους ἐλεγχόμενος μακρὰ τῆς ἀληθείας νομίζεται. τοῦτο μάλιστα ἐντέχνως ἀπολύεσθαι τὴν ὑπόνοιαν ὁ θεολόγος Γρηγόριος, ἐν τῷ εἰς Γοργονίαν τὴν ἑαυτοῦ ἀδελφὴν ἐπιταφίῳ. Ἀδελφὴν ἐπαινῶν,

τὰ ἐκεῖνα θαυμάζομαι. ἐπαινῶ ὅτι ἐκεῖνα, διὰ τοῦτο ψευδῆς, ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετοῦ. ἀληθῆ δέ, οὐχ ὅτι θαύματα μόνον, ἀλλ' ὅτι καὶ γεγενημένα, καὶ τὴν πρὸς χάριν ἐν συγχωρεῖται πᾶν ἐξειλέγμεθα.

ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΤΗΣ ΑΙΤΙΑΣ ἀντιπιπτόντων.

Τοὺς γοῦν εἰρημένους, καὶ πρὸς τὰ ἀπὸ τῆς αἰτίας ἀντιφερομένων ἀρξώμεθα. ἐφ' ἡμῖν ἀποβαίνειν δοκεῖ, ὁπόταν δι' ἔχθραν, ἢ δι' ὀργήν, καὶ πρὸς τὸ ἴδιον ἀφορῶντες κέρδος τοὺς ἐνθυμίας εἰσφέρεσθαι ὑποπτευόμεθα, καὶ διὰ φιλίαν μᾶλλον, ἢ δι' ἀρετὴν τοὺς ἐπαινουμένους ἀποσεμνύνειν. Παραδείγματα δὲ περὶ τὰ ἀντιθέσεις, κάλλιστα οὐκ ἄπο σκοποῦ. οἷς ὁ Ῥήτωρ κέχρηται κατὰ τοῦ Ἀριστοκράτους, καὶ Ὀ[illegible]. Μηδεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι νομίσῃ μήτε ἰδίας ἔχθρας ἐμὴ, μήτε μικρᾶς οὐχ' ἕνεκεν Ἀριστοκράτους κατηγορήσοντα.

ΤΑ ΑΝΤΙΠΙΠΤΟΝΤΑ ΕΚ ΤΩΝ πραγμάτων.

Τὰ δὲ ἐκ τῶν πραγμάτων ὡδίπως θεραπευτέα, ὅτε οἱ μεγάλοις ἐγχειρεῖ καὶ δόξαν ἔχουσι, τὸ τοῦ ἀγῶνος ἐργῶδες καὶ δυσεπίβατον ὁμολογητέον ὡς προειρημένοις ἐνδόξοις. οἷα δὲ τὰ πολλὰ μηχανῶνται οἱ πανηγυρίζοντες, ἀδύνατας ἑαυτῶν, ἢ προσποιοῦνται παρ' αὐτὴν τὴν πρώτην τοῦ λόγου παρείσοδον καταγινώσκοντες, καὶ γλώττας καὶ λόγου φύσιν ἀπομεμφόμενοι, ὡς οὐχ ἱκανῶς ἐνδείξασθαι δυναμένων ὅσον εὐφημίας τῷ ἐγκωμιαζομένῳ πρέπει. κἀντεῦθεν τῶν τε θεωρῶν τῆς εὐνοίας ἐθηρώμενοι, καὶ τῷ ἐγκωμιαζομένῳ αὔξησιν μνηστευόμενοι. ὑπολήψεται γὰρ ὁ ἀκροατὴς τὰ λεγόμενα μᾶλλον μετριοπεπραγμένα, ἄν τι καὶ εἰρηκότα, ἢ ἀναίδειαν ἀπειλαδιαζόμενον. Παραδείγματα δὲ τούτων ἐστὶ πολλῶν καὶ ἄλλων ἐντεύξεσθαι, καὶ περὶ Γρηγορίου. Ἔμελλεν ἄρα πολλὰς ἡμῖν.

ἡμῖν ὑποθέντες τῶν λόγων ἀεὶ περιττεύσεις ὁ μέγας Βασίλειος. καὶ τὰ ὅμοια. καὶ Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, τῷ εἰς Ῥώμην ἐγκωμίῳ. καὶ ἐν πρώτῳ τῶν ἱερῶν: Εἰ δ' ὑπεναντία διέξεισι μικρά τε εἰσὶ καὶ ἄωτα, ἐπαύξειν πειρατέον, ἢ καθ' ἑαυτά, ἢ πρὸς ἐλάττω παραβαλλόμενα. ὡς Λουκιανὸς ἐν ἐγκωμίῳ τῆς μυίας. Εἰ δὲ τοῦτο οὐκ ἔστι, ἀλλὰ γοῦν ἀναγκαῖα, ἢ ἐπωφελῆ, ἢ δίκαια, καὶ τὰ ὅμοια ὑποδεικνύειν, τούτοις αὐτοῖς καὶ ὅσα ἀτοπίαν ἔχειν δοκοῦσι, ἢ ἀπεχθῆ εἶεν τοῖς ἀκροωμένοις θεραπεύοντα. ἢ μικρὸν ταῦτα, ἢ τὴν κακοτεχνίαν αἰτίαν ἐπάγων, ἢ τῷ ἀντιδίκῳ τὰς περιφανεῖς ἐπιφορτίζων, ἢ εἰς Θεόν, ἢ εἰς τύχην, ἢ φύσιν, ἢ ἔθος ἀναφέρων τὸ αἴτιον. ἀνθ' ὧν ἐπιφέρων ὑπέχει τὸ γεναῖ ἔχειν διὰ τὸ σύντομον ἐν παραδείγματι λόγῳ, τὸ τοῦ Ἀριστείδου ὑπὲρ τῶν μεθ' ἑτέρους βοηθεῖν. Εἴ τι χρήσιμον μέτεστιν τῆς Ἀθηναίων παρρησίας, πειράσομαι περὶ τῶν παρόντων εἰπεῖν ἃ γινώσκω, δεηθεὶς ὑμῶν μὴ θορυβεῖν, πρὶν ἂν πάντων ἀκούσητε. καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ χρόνου ἀναφέροντα ὑμῖν ἀντιβλέποντες, ὅτε οἱ πολέμιοι περὶ τὸ πρόσθεν τοῦ λόγου. ἢ κατόπιν γενόμεθα τῶν καιρῶν ὑπηρετοῦντες. ὁ Δημοσθένης ἐν τῷ περὶ Στεφάνου Αἰσχίνῃ φαίνεται ἀνθυποφέρων. τοῦτο ἄριστα ἐν προοιμίοις τῷ Ἰσοκράτει ἀνακείμενον ἐν τῷ πανηγυρικῷ, ἔνθα φησὶν ὡδί πως. Ἐχρῆν ἂν δ' οἱ καιροὶ τοὺς παρεληλύθασιν ὥστε μάτην εἶναι τὸ μεμνῆσθαι περὶ αὐτῶν. καὶ τὰ ἑξῆς. Καὶ περὶ μὲν ὧν ἡ εὔνοια θεραπεύειν, τοσαῦτα εἰρήσθω. εἰς δὲ προσοχὴν καὶ φιλακοΐαν, ἑξῆς ῥητέον:

ΠΕΡΙ ΠΡΟΣΟΧΗΣ.

Τὸ μὲν οὖν προσεκτικὸν ποιεῖν, ὁ Ἀριστοτέλης οὐχ ἧττον ἡγεῖται τῶν ἄλλων εἶναι μερῶν τοῦ λόγου, ἢ τοῦ προοιμίου. ἔξεστι γάρ φησι τῷ Ῥήτορι εἴδ' ἂν τῷ λόγου τοὺς ἀκροατὰς ἴδοιτο εἰς ῥαθυμίαν ἀπο-

κλάσαντες ἀναγγέλλεσθαι. τὸ γ. Καί μοι περιέχεται τῆς γνώμης, καὶ σκέψασθε τὰ πρὸς ταῦτα. καὶ τὰ περιστάσεια παρασείσομεν. μάλιστα μέντοι οἷς περιέχεται πράγμασιν ἀνθρώποις, ταῦτα εἰσί. τὰ μεγάλα. τὰ θαυμαστά. τὰ ἴδια. τὰ φοβερά. τὰ χρηστά. τὰ ἄπιστα. τὰ συμφέροντα ἰδίᾳ ἑκάστῳ, καὶ πᾶσι κοινῇ. δίκαια. ῥᾴδια. ἀγαθά. καὶ ὅτι τούτοις περιστάσεσιν. ἅπερ εἰ δόξῃ λέγειν ἄριστα, τῆς εὐλαβείας δεῖ ἀπολαύειν. τούτων δ' ἀξίως τῶν εἰρημένων ἐξεταζομένων παραδείγματα, καὶ παρέργως, μὴ ὅτι ὀχληρόν, καὶ διασαφοῦσιν ἡμῖν ὁ τῶν ποικίλων ἐμπειρότατος ἵνα μὴ μέντοι ὁ λόγος παρατείνωσιν ἀδιαφόρως ἢ δύο ἢ τρία εἰς ἀκριβεστέραν τῶν εἰρημένων διασαφήνισιν παραθησόμεθα. τὰ λοιπὰ δὲ ῥᾴστα, καὶ παρ' ὑμῶν συνεισενεχθήσεται. Ὁ γοῦν Ἰσοκράτης ἐν τῷ τοῖς μεγάλοις ἐκ τῷ περὶ εἰρήνης λόγῳ τὴν περιοχὴν περιστρέφεται. Ἅπαντες μὲν εὐλαβοῦνται οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἀξία τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν, καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ πανηγυρικῷ τοῖς κοινοῖς καὶ εἰς αὐτοὺς ἀνήκουσι εἰς ὃν καὶ ὁ λόγος αὐτῷ κατασκευάζεται καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Περικλέα. Τοῖς δ' αὖ ἀδίκοις καὶ κρατοῦσι ὁ Ῥήτωρ εἰς φιλονεικίαν ἐγχέοντι ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν. Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν δοκεῖ μοι, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ λοιπά, καὶ Ἀρχίδαμος ἐν τῷ περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης καὶ πρὸς Ἀθηναίους. Ἴσως μὲν ἔνιοι θαυμάζουσι τὴν ἐμὴν ἄθλησιν ἐπιδημοῦντος, ὅτι ἐγὼ ὦ ἄνδρες Λακεδαιμόνιοι. καὶ τὰ λοιπά. Τοῖς φοβεροῖς, ὥσπερ τοῖς κατὰ Φιλίππου λόγοις ὁ Ῥήτωρ κέχρηται, καὶ Ἰσοκράτης ἐν Ἀρεοπαγιτικῷ. Ἐγχωρεῖ δὲ πολλάκις καὶ ἐπαίνοις εἰς τὴν ἀκρόασιν προσδέξαι τῷ λέγοντι. οἷον. Τὴν μὲν τῶν περὶ τὰ κοινὰ προθυμίαν οἶδα ὑμᾶς ὦ ἄνδρες, καὶ ὅσον ὀξὺ τῷ ἐκείνων ὑπάρχουσιν σπουδῇ τι. ἢ ὅπως. Οὐ δ' ἂν πάνυ ἐθαύμασα ὦ ἄνδρες εἰ χεῖρον ὑμᾶς μὴ ἐπαινεῖν, ὅτι περιστέρας ἐνδείξασθαι

περι-

προθυμίαν ἀκοῦσαι τῶν λέγειν διανοουμένων ἡμῶν, ἃ συν- ,,
οίσειν καθ' ἕνα καὶ κοινῇ τῇ πόλει πάσῃ ἐγνώκαμεν. ,,

ΠΕΡΙ ΕΥΜΑΘΕΙΑΣ.

Τὴν δὲ εὐμάθειαν, εἴ τις ἀρχὴν εἴποι καὶ βάσιν προσοχῆς καὶ εὐνοίας, οὐκ ἂν ἁμάρτοι. ἐκ ταύτης γὰρ ἐκεῖναι ἤρτηνται. μᾶλλον δὲ ἀπ' αὐτῆς πᾶς λόγος ὥσπερ ἐπὶ κρηπῖδος βέβηκεν. ἧς ἄνευ ἀνάγκη πᾶσαν ἀργὸν μένειν, καὶ τοῦ οἰκείου τέλους ἅπασαν ἐπιβολήν. ταύτῃ τις καὶ Ἀριστοτέλης τοῦτο μόνον ἔργον τοῦ προοιμίου ἀναγκαιότατον τίθησι. τοιγαροῦν αὐτὰ προσγίνεσθαι πέφυκε τῇ κεφαλαιώσει τῶν πραγμάτων, καὶ μάλιστα τῷ τέλει, οὗ ἕνεκεν ὁ λόγος δηλοῦσα μετ' ἀκριβείας ὡς ἔνι καὶ καθαρώτατος ἐκπεφρασμένην, ἧς ἐν προοιμίῳ ἴσον οὐδὲν ἐπιμελητέον, συμβάλλεται δὲ ταύτῃ διαφερόντως, καὶ τὸ ἄνωθεν μεταπορεύεσθαι τὰ προοίμια, καὶ αὐτοῖς τῶν ἐντάξαι τι τῇ ὑποθέσει ἐνδιατρίβοντα αὐτοῖς. οὐδὲν δ' ἧττον καὶ ἡ τῶν μεθοδευομένων κεφαλαίων διαίρεσις, ἣν καὶ προκατασκευὴν τινὲς σχηματίζουσι. περὶ ἧς ἐν τῇ προθέσει διαληψόμεθα. ὧδ' ἔστι γὰρ ἡ αὐτὴ τῇ προθέσει, ὡς ἀνωτέρω εἰρηκότες ἐσμέν. Παραδείγματα δὲ τῆς ἐν προοιμίῳ εὐμαθείας ἐστὶ τὸ παρ' Ἰσοκράτει παναθηναϊκόν, καὶ περὶ ἀντιδόσεως· ἐν ᾧ διεξοδικώτατα πραγματεύεται τὴν εὐμάθειαν. Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλ- ,,
λων ἀναγνωσθήσεσθαι τοῖς πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἀ- ,,
ποδείξεις γεγραμμένοις, καὶ τὰ λοιπά. μάλιστα συχνοῖς καὶ ,,
τῷ Δημοσθένει ἐντεύξεσθε παραδείγμασιν, εἰ καὶ μικρῶν ἐπισκέψαιτε. ὧν πάμπολλα λίαν ἡ ὑπόθεσις, καὶ τὸ τοῦ Πλάτωνος ἐν ἐπιταφίῳ. Ἀλλὰ περὶ μὲν τῶν καθόλου τοῦ προοιμίου προσηκόντων, ἅλις ἂν ἔχοι τοσαῦτα εἰρῆσθαι. λοιπὸν δ' ἂν εἴη εἰπεῖν καὶ τίνι ἑκάστῳ λόγῳ γένει ἐφαρμόττει τὰ προοίμια, καὶ τίσι, καὶ ἐκ τίνων κατασκευαστέα.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΔΕΙΚΤΙΚΟΥ ΕΙΔΟΥΣ.

Τοῦ γοῦν Ἐπιδεικτικοῦ εἴδους οὐδὲν ἰδιαίτερον ἡγεῖται ὁ Ἀριστοτέλης προοίμιον, ἀλλ' ὅθεν ἂν βουλομένῳ ᾖ τῷ Ῥήτορι, ἔξεστι λαβεῖν καὶ συνάψαι τῇ ὑποθέσει τὸ ἐνδόσιμον. αἴτιον δὲ οἶμαι, τὸ μηδένα μᾶλλον ἑαυτὸν προσποιεῖσθαι τὸ τοιοῦτον εἶδος, ἢ τὴν ἐν λόγοις ἐπίδειξιν. ὅτις οὐδὲν ἄρα κωλύει περιζεῦξαι, ἐξ ὧν αὐτὸς ἐθέλει συντεθῇ τὸ προοίμιον. εἴωθε μέντοι τὰ πολλὰ (ὡς καὶ αὐτῷ δοκεῖ τῷ Ἀριστοτέλει) ἐκ τεσσάρων τόπων λέγεσθαι:

α Τὰ μὲν ἐξ ἐπαίνου, ὡς τῶν τὰς πανηγύρεις συγκροτούντων, καθά που καὶ Περικλῆς ἐν ἐπιταφίῳ φησίν. ἢ τῶν ἀκροατῶν καὶ τῆς ἰδίας ἀρετῆς, ἢ γένους ἐκείνων, ἢ πόλεως, ἢ κατορθωμάτων, ἢ ἄλλως γένους. ἔστι γὰρ οὐ σμικρὸν πλεονέκτημα τῷ ἐγκωμιάζοντι πρὸς εὔνοιαν τὸ περὶ λόγους τοῖς ἀκούουσιν. ἀμφότερα δὲ συνεῖρεν Ἰσοκράτης ἐν Εὐαγόρᾳ. ἅμα γὰρ ἐπαινεῖ τὸν ἀγῶνα, καὶ Νικοκλέα τὸν ἀθλοθέτην, πρὸς ὃν καὶ τὸν λόγον συνέθετο. « Ὁρῶν ὦ Νικόκλεις τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς, καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσι. καὶ τὰ ἑξῆς.

β Τὰ δὲ ἐκ τοῦ ἐναντίου ἐκ ψόγου. ὡς Ἰσοκράτης ἐν πανηγυρικῷ, ὡς τῶν μὲν σωμάτων τοὺς ἀθληθέντας, ὅτι μηδεμίαν τοῖς ὑπὲρ τῶν κοινῶν εὐνοίας πεποιήκασιν, ὡς δὲ τὴν τῶν σωμάτων ἀρετὴν αὐτῶν « καταβάλλονται τῆς φροντίδος. Πολλάκις ἐθαύμασα τῶν τὰς « πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. καὶ τὰ ἑξῆς.

γ Τὰ δὲ ἀπὸ συμβουλῆς. καὶ τοῦτο διττῶς. Ἢ ἀπὸ προτροπῆς, ὡς ὁ Πλάτων ἐν ἐπιταφίῳ, ἐν ᾧ λόγοις κοσμεῖν παρακελεύεται τοὺς καλῶς ἐναγωνισαμένους ἔργῳ. « Ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς.

αὐτοῖς· καὶ τὰ λοιπά. Ἡ δὲ ἀπόδειξις· οἷον δεικνύει περὶ Θεμιστοκλέους τὸ τοῦ Περικλέους ἐν ἐπιταφίῳ. Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλόν: Καὶ περὶ ταῦτα ἀπὸ λύσεως τῶν ἀντιπιπτόντων πρός. ὡς εἴ τις περὶ παραδόξου πρὸς λέγειν προθοῖτο, ἢ χαλεποῦ, ἢ τῶν τοῖς πολλοῖς τεθρυλλημένων· ὧν τὰ προοίμια καὶ ἐγκωμιάζεσθαι φησὶν ὁ Ἀριστοτέλης περὶ τῶν δικανικῶν τὸν συμβουλεύοντα. Καὶ τοῦ μὲν προτέρου ἔστω παράδειγμα τόνδε τὸν τρόπον. Οἶδα μὲν ὅτι παράδοξος ὑμῖν ὁ παρ' ἐμοῦ δόξει λόγος, καὶ μέχρι τοῦδε μόνον τοῖς εἰρημένος. εἶτα καὶ τὰς αἰτίας προσθεὶς ἐπάγει τὰς λύσεις. Τοῦ δὲ χαλεποῦ, οἷα τὰ ἀμφοτέρων, Γρηγορίου τε Βασιλείου, καὶ Ἀριστείδου. Τοῦ δὲ τρίτου τοιόνδε. Πολλοῖς μὲν ἡ παροῦσα πανήγυρις καὶ περὶ πολλῶν λόγοις τε καὶ συγγράμμασι πολλάκις τεθαύμασται. ὃ δὲ ἂν εἰκὸς ἐστὶ μάλιστα τῶν συνελθόντων ἰδεῖν, ὃς μὴ περὶ ταύτης, ἢ εἰρηκώς τι ἐστὶν, ἢ περὶ τινος λέγοντος ἤκουσεν. οὐ μὴν διὰ τοῦτο ὀκνῶ ἔγωγε καὶ αὖθις εἰπεῖν τι καινὸν περὶ αὐτῆς καὶ λόγων μνήμης ἀπέξιον. εἰ γὰρ μόνη τῶν ἄλλων τεθαύμασται. ἀλλὰ μόνη τῶν ἄλλων ἐλάττω τῆς ἑαυτῆς ἀξίας ἐπέτυχεν:

ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Οἱ ἐπιστήμονες δὲ τὸ δικανικὸν χρῶνται τοῖς προοιμίοις καὶ δὲ αὐτῆς τῆς φύσεως τοῦ προβληθέντος ζητήματος μεμετρημένοις. καὶ διὰ τοῦτο τὸν σκοπὸν τῆς ὅλης ὑποθέσεως ἀπαγγέλλουσιν. ὁ γὰρ εὐμάθεια ἀγαθὴ μὲν ξυμπάσης φασὶ προοιμίου. δικανικοῦ δὲ, καὶ ἀναγκαία πως. ὑπόκειται γὰρ ἐνταῦθα πάντως ὁ ἀκροατὴς ἀνοίκειος τῶν ἀμφισβητουμένων. ὅ, τε γὰρ θεωρὸς οὐδὲν ἔχει ὡς ἐπιθυμία τὸ ῥηθησόμενον, καὶ τοιούτων τινῶν, ἃ προσεῖναι τῷ

κατηγόρει ἢ, τῷ ἐκκλησιαστῇ προστίθεται, ἐφ' ᾧ ἡ βουλὴ συγκεκρότηται, κἂν ἀγνοῶμεν τυγχάνῃ τὴν βούλησιν. ὁ δικαστὴς δὲ τούτων οὐδὲν προσεπίσταται. ταῦτ' ἄρ' ὥσπερ ἐς χεῖρας διδόναι δεῖν παρ' αὐτὴν τὴν πρώτην τοῦ λόγου βαλβῖδα, τὸ τέλος τῆς ὅλης ὑποθέσεως τῷ δικάζοντι, ὡς ἂν ἀσφαλῆ ἔχοι τοῖς λεγομένοις τὸν λογισμόν. τὸ γὰρ ἀόριστον ἀπαρτᾷ πως καὶ ὑποπλανᾷ τὴν διάνοιαν (ὥς πού φησιν ὁ Ἀριστοτέλης) καὶ δυσπαρακολούθητον ἀπεργάζεται τὸν λόγον. Λαμβάνεται δὲ ἐνταῦθα τότε τὰ προοίμια, ἔκ τε τῶν προσώπων καὶ τοῦ πράγματος, ἢ τῶν περιεχομένων τινῶν. καὶ τούτων αὖθις ἕκαστον, ἢ ἐξ ὑπολήψεως, ἢ ἐξ ὑποδιαιρέσεως, ἢ ἐκ περιουσίας, καὶ προσέτι ἀπὸ καιροῦ. περὶ ὧν ἁπάντων κάλλιστά τε καὶ διεξοδικώτατα τῷ Ἑρμογένει διείληπται, ἐν τοῖς περὶ εὑρέσεως. διὸ καὶ μακρότερον ἐπὶ τοῦ παρόντος ὑποτεῖναι οὐ δεῖν ᾠήθην. ἐξὸν παρ' ἐκείνῳ πληρέστατα ἐντυχεῖν.

ΠΕΡΙ ΔΗΜΗΓΟΡΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ δὲ τοῦ δημηγορικοῦ εἴδους οὐδενὸς δεῖ προοιμίου τῷ συμβουλεύοντι, ὅτι μὴ εἰς σύστασιν τοῦ οἰκείου προσώπου. καὶ ταῦτα ἡνίκα τινὰ περὶ ἑαυτοῦ ὑπόληψιν οὐκ ἀγαθὴν ἀποκρούσασθαι δέον, ἢ τὴν σφετέραν περὶ τοῦ πράγματος γνώμην, ὥσπερ παρακατέξεσθαι. ἐν παραδείγματος λόγῳ, οἷον τὸ τοῦ Βασιλείου πρὸς τοὺς νέους, καὶ Περικλέους ἐν τῇ δευτέρᾳ τῶν ξυγγραφῶν Θουκυδίδου. προσοχὴν δὲ καὶ εὔνοιαν οἴκοθεν ἔοικε φέρων ὁ ἐκκλησιαστής, ὡς περὶ ἑαυτοῦ καὶ τοῦ οἰκείου συμφέροντος τὴν ψῆφον ἐπενεγκεῖν μέλλων. εἰ μέντοι που καὶ χρεία προσοχῆς παρεμπέσοι, ταύτην ἐκ τῶν ἀνωτέρω τεθέντων προκατασκευάσει τῷ λόγῳ, τὰ δὲ πολλὰ καὶ ὁ δημηγορῶν πρὸς τῶν δικανικῶν ἐρανίζεται τὰ προοίμια.

ΠΕ-

ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΠΡΟΟΙΜΙΟΥ

εἰτ᾽ οὖν εὑρέσεως.

Μετὰ τὴν τῶν ἐργασιῶν τοῦ προοιμίου διδασκαλίαν, λοιπὸν ἤδη καὶ περὶ τῆς ἑκάστου συνθέσεως διαλαβεῖν. Ἐφ᾽ ἑκάστου τοιγαροῦν προοιμίου ζητητέα ἐστὶ πρότασις τις ἐνστήσασα ἡμᾶς εἰς τὴν ὅλην ὑπόθεσιν εἰσάγουσα, ἢ διὰ τῆς κατασκευῆς ὑποθέσεως μεταγενεστέρας, ἢ ἄλλοθεν ποθὲν εἰλημμένη. ταύτην ἅμα καὶ μετ᾽ εὐρυθμίας Ῥητορικῆς ἀναφερομένην, καὶ πιθανότητος κατασκευάσομεν. εἶτα τὴν ὑπόθεσιν ἐπάξομεν. ἥτις ἢ ἐκ τοῦ ἀκολουθήματος λόγῳ διὰ τῆς προτέρας συνάγεται προτάσεως, ἢ οὖν γοῦν ἀξίωσιν ἐπάγει ἡμετέραν περὶ τοῦ προτεθέντος ζητήματος. καὶ εἰ μὲν δόξει ἑτέραν ἐπισυνάπτειν πρότασιν, κατασκευάζωμεν ἅμα τῇ συναχθείσῃ, καὶ ἀμφοτέρας συνδήσομεν. ἐν δὲ μέρει, τὴν πρόθεσιν ἐκθεὶς ὑποδείξωμεν. ὑπόδειγμα δὲ τῶν εἰρημένων ἔστω τοιόνδε. Ἡ μὲν ὑμετέρα περὶ τὰ Ἡραῖα προθυμία, ὦ ἱεροὶ καὶ ὅσιοι τελεταῖς καὶ διακοσμήσεσι λαμπρὰν τὴν τῆς πανηγύρεως μάλιστα ἀπεργάζεται, λαμπροτέρα μέντοι πάντως συγκεκροτηθεῖσα, καὶ τῇ τῶν φιλοθεαμόνων ἀκοαὶ περιττοτέρων ἐμπλησθεῖσαι, εἴγε καὶ τῆς εἰς μνήμην ἀρεσκομοσύνης (φημὶ τοῦ λόγου) ἐπιτελὴς γένοιτο. Καλὰ μὲν καὶ τὰ παρόντα φωταγωγίας τε καὶ φρυκτωρία, ὅτι πάντα δὲ καὶ τὰ τῶν περιπετασμάτων ποικίλα τε καὶ γλαφυρώτατα. ἡ μὲν ἀειφεγγῆ τῷ φωτὶ τὸ ἱερὸν ἅπαν σχεδὸν καταυγάζουσα δείξει. ὁ δὲ, τῷ πολυειδεῖ τῶν βαφῶν, τὸ ποικιλόχρουν ἀποδεχόμενα τῆς ἀρετῆς τοῦ Ἥρωος, καὶ ἀμφότεραι εἰς ὑπερβολὴν μεγάλην τινὰ τὴν ἑκάστου τοῦ θεατοῦ ἀπαγγέλλουσι. ὅσον μέντοι καὶ τῶν κατορθωμάτων τὸ μέγεθος ἐμφανίζουσι, ὃ γοῦν καὶ ἐν ἐξετάσει ὅλως ἐγκώμιον, ὃ μάλιστα σπουδάζει ὁ λόγος πέφυκε τῇ τῆς πράξεως ἰδιότητι ξυνετοῖς μάλα σώματα-

σχημα-

Ἀξίωσις

» σχηματιζόμενός τε καὶ συνεζευγμένος. Διὰ τοι ταῦτα ἔργον μοι ἔδοξε πάνυ μὲν ἀναγκαῖον, οὐχ ἧττον δὲ καὶ ὑμῖν κε» χαρισμένον διασαφῆσαι, εἴπερ ὀλιγάκις περὶ τοῦ ἀνδρὸς πε» πραγματευμένων τῶν πολλῶν ἀξιωθῶ, ὅσα καὶ ἡ ἡμετέρα γλώττης μὴ » ὑπερβαίνει τὴν δύναμιν, τῷ λόγῳ ὡς ἐγχωρεῖ παραδοῦναι. Ὡς » ἂν καὶ περὶ [illegible], τοῖς μὲν συνειδόσι ταῦτα ὑπομιμνή» σκων τὴν μνήμην καὶ ἡδονὴν ἀπεργάσωμαι· τοῖς δὲ παντά» πασιν ἀπείροις (ὥσπερ τινὲς εἰσὶν) οὐδὲν τινα ἀγνοήματα » τῆς περὶ ἐκεῖνον ἱστορίας τε καὶ μιμήσεως διὰ τῆς ἀφη» γήσεως ἐγκαταβάλλωμαι· καὶ ἅμα τῇ κατηγορίᾳ τὸ εἰκὸς ἀπ» πληρώσωμαι;

Βάσις

Πολλάκις δὲ καὶ ὅλον ἀπαρτίζεται τὸ ἐνθύμημα, ἐλλειπόμενον, ἢ ἐκ τοῦ ὁμοίου ἢ ἐκ τοῦ ἐναντίου, ἢ ἐξ ὑπεροχῆς, ἢ ἐκ τοῦ ἐλάττονος, καὶ τῶν τοιούτων, ἢ ἀμφοτέρας καταλείποντες τὰς προτάσεις, εἰς τὴν ἀξίωσιν ἀντὶ αὐτῶν προσθέντες μεταβαίνομεν. οἷά που ὡς ἐν τούτῳ εἰσάγεται Ἀφθόνιος ἐν τῷ τοῦ » Θουκυδίδου ἐγκωμίῳ. (Προκατάστασις) Τιμᾶν ἄξιον τοὺς » εὑρόντας τὰ χρήσιμα, εἰς ἀνθρώπους τὰ κάλλιστα, καὶ τὸ » παρασχόντα φαίνεται ἐπαποδιδόναι δικαίως τοῖς ἀξίοις. » (Ἐπίμετρον) Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις, » αὐτὸν τοῖς ἑαυτοῦ τιμᾶν ἀναγκαζόμενος: (Κατασκευή) » Ἅπαντας μὲν οὖν τοὺς ἀρξαμένους τι μαθεῖν καλὸν, τούτων δὲ » μᾶλλον τὸν Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ » κάλλιστον: (Αἰτία κατασκευῆς.) Οὔτε γὰρ λόγων ἐν τοῖς » οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου σοφώτερον » ἐστὶν εὑρεῖν. Ἔστι δ' ὅτε καὶ ὁλόκληρον τὸν συλλογισμὸν προσηθίασιν, ἐφ' ὃν τὸ συναγόμενον ἀξιώσεως εἴτ' οὖν βάσεως λόγον ἐπέχει· ὃν παραδείγματα καὶ ἐπ' ἄλλων μάλα συχνά, καὶ ὅλου Δημοσθένους ἐπισκοποῦντι εὑρήσεις. Ἐνίοτε δὲ καὶ τὴν προτέρας ἐπιδιωκόμενα προτάσεσιν ἀκατάσκευον παρέντες, ἐφ' ἕτερον μεταβαίνουσι συλλογισμὸν

εἴτ'

εἴτ' οὖν ἐνθύμημα. ὃ καὶ κεφαλαιωδέστερον τῷ ἀνωτέρῳ εἰρημένον τρόπον, οἷόν ἐστι καὶ τὸ τοῦ Δημοσθένους ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. Κομψότης δὲ καὶ τὸ εὔρυθμον καὶ πρὸς ἁρμονίαν κεκροτημένον παντὶ λόγῳ κόσμος ἐστὶν ὥσπερ ἀνθὸς ἐφ' ἅπασι τοῖς ἀκούουσι (πολλοῦ εἴπερ ὁ λόγος διὰ τὸ ἐναντίον ὑποστερῆται τὸ ἔντεχνον) προοιμίῳ δὲ μᾶλλον δεῖ προσεῖναι, ἅτε δὴ καὶ εὐνοίας καταλήψεις. ὃ διὰ τῆς τῶν λόγων ἡδονῆς μνηστεύεσθαι πέφυκε. καὶ τὸ εὔσημον διὰ τὴν εὐμάθειαν. Καὶ περὶ μὲν προοιμίου τοσαῦτα ὑπογράψαντες εἰρῆσθαι ἔδοξεν. εἰ δέ τι καὶ παρεωραμένον ᾖ, ὅτε τῶν εἰρημένων κατάληψις εἰς τὴν κρείσσονα πολυμαθίαν γνῶσιν, καὶ τὸ ὑμῶν ἅμα τε ἀγχίνουν καὶ φιλόπονον τοῦτ' ἀναπληρώσεται.

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ ΕΙΤΟΥΝ ΠΡΟΘΕΣΕΩΣ.

Τῷ προοιμίῳ ἡ πρόθεσις εὐθὺς διαδέχεται. ἣ γενικῶς μὲν ὁριζομένη, Ἔκθεσις λέγεται τῶν πραγμάτων καὶ δήλωσις περὶ ὧν συνέστηκεν ἡ ὑπόθεσις. εἰδικῶς δὲ τεμνομένη εἰς δύο. θάτερον οὗτος διεξοδικώτερόν τι πέφυκεν ἀφήγησις, καὶ κατά τινα ἐξεργασίαν ἔκφρασιν. αἰτίας τε γὰρ τῶν γεγονότων πολλάκις ἀναπτύσσει. περιστάσεις τε σαφηνίζει. καὶ πᾶν ὅπεσθαι εἰς τὸ σαφέστερον τῆς ὑποθέσεως συντείνει, εὐμαθέστερον διερμηνεύει. καὶ τοῦτο διήγησις εἰδικῶς ἑρμηνεύεται. Θάτερον δὲ ἁπλοῦν τε ἐστὶ καὶ ἀκατάσκευον, καὶ συντομωτάτην εἴληχε καὶ ψιλὴν τὴν δήλωσιν. ὃ καὶ ἀνώνυμον ἐστὶ κατὰ τὴν διαφοράν. οὐδὲ πάνυ πολλῆς δέεται τῆς τοῦ Ῥήτορος ἐπιτηδεύσεως, ἅτε δὴ μονομερὲς ὄν, καὶ ψιλῶς ἐκφέρον τὰ πράγματα, μηδὲν τῶν πέριξ περιστρεφόμενον. πλὴν εἴπου ἐπ' αὐτοῦ δέοιτό γε προδιακρῖναι τὰ ἐν τῷ προοιμίῳ ζητούμενα. ὃ δὲ

περ-

πτες καὶ παρασκευαστικὴν ἐγχειρημάτων. ἣν καὶ δεῖν συνεζεῦχθαι χρὴ ἀμφοτέροις ἐφθάσαμεν εἰρηκότες. νῦν μὲν ἐν προοιμίοις, νῦν δ' αὖ ἐν διηγήσει, ἔστιν ὅτε καὶ ἐν ἀμφοτέροις ἐντεταγμένην. ἐπειδὰν δή τι ἡ ὑπόθεσις πολλῶν ἔχει πραγμάτων ἀθλιακτικῶν συμπεπλεγμένων τε ἄδηλον καὶ δυσδιάκριτον, ὡς ἵνα τὴν σύγχυσιν διαλύσῃς ἀξιόνεται ἀφαιρεῖ τὰ ῥηθησόμενα, τῇ τῶν ζητουμένων διαιρέσει ὁ Ῥήτωρ κέχρηται. ἣν χρὴ σαφῶς, πλὴν ὅσον ἐνὸν καὶ ἐπὶ τῶν λοιπῶν τῶν λόγων μερῶν φυλαττομένην ὑπὸ τοῦ Ῥήτορος, μνήμης ὡς ἐμπαθείας ἕνεκεν: Παράδειγμα μὲν οὖν ψιλῆς ἀφῃρημένης προθέσεως, τὸ Δημοσθενικὸν ἔστω ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. εἰς δὲ κατὰ διαίρεσιν, τὸ τοῦ Ἰσοκράτους πρὸς Νικοκλέα· ἐν οἷς δὲ ὑπ' ἀμφοτέρων ἡ διαίρεσις οὖν φιλοτεχνηθεῖσα, εἰ βουλομένοις ἐστὶ μαθεῖν, ἀντίον τε διέξεισι τὸν πρὸς Νικοκλέα λόγον, καὶ Δημοσθένους τὸν περὶ παραπρεσβείας.

Τῆς διηγήσεως ἀρεταὶ μὲν ἴσως καὶ ἄλλαι, ἀναγκαῖαι μέντοι σαφήνεια μετὰ πιθανότητος. ὧν ἐκτὸς ἡ διήγησις, τῆς ἄλλης φιλοτεχνεῖται πάσης τοῦ οἰκείου τέλους ἀπολείπουσα. δῆλον γὰρ ὡς ἐν πολιτικῷ λόγῳ διήγησις ἔστι γεγονότος πράγματος, εἰ μὲν τοῦ πιθανοῦ ἁμαρτάνουσα, ὡς γεγονότος λεγόντων, ἀλλ' ἐνδεχομένου ὑπάρξειν ἀπόδειξιν. περὶ δὲ τὸ ἀσαφὲς, καὶ τῆς ὅλου τῆς δηλώσεως διαμαρτάνει, καὶ παρελθὸν τοῖς ὠσὶν ἐμβοᾷ τῶν ἀκροατῶν παρενόχλημα. τοιοῦ ἀναγκαῖον ἐν διηγήσει τῇ σαφηνείᾳ τὸ πιθανόν. καὶ ἀνάπαλιν τῷ πιθανῷ ἡ σαφήνεια. ἀτελὲς γὰρ θάτερον ἄνευ θατέρου. Ἁπλῶς μὲν οὖν εἰπεῖν ἐπὶ παντὸς λόγου σαφηνείας ἐστὶ ποριμώτατον ὑπὲρ τι ἄλλο, ἀκριβολογία, καὶ τὸ μηδὲν παραλιπεῖν τῶν τοῖς πράγμασι παρεπομένων, ὁρίσαντα δηλονότι τὸν πράξαντα, τὸ πεπονθὸς, τόπον, χρόνον, αἰτίαν, καὶ τὰ λοιπὰ τῶν περιστατικῶν. ταύτης

εὐχ

ἰσχ... θέσιν ποιητέον καὶ ἡ ἐν τάξει καθ' ἣν ἐπράχθη, ἀπ' αὐτῆς ἐκ φύσεως ἢ τέχνης καλλύνωνται τῶν ἀσχηματίστων ἀφηγήσεις.

Παραιτητέον δὲ καὶ τὰς ἐπιβολάς ἡ ἐνάργεια, καὶ οὐδὲν ἀνέχεται συμπλεκτικῶς ἔξωθεν· ἢ γένος εἴδει, ἢ μέρει ὅλον, ἢ ἀόριστον ὡρισμένῳ, καὶ τὰ ὅμοια. ἐκτὸς εἰ μή που τοιοῦτόν τι τοῦ χαρακτῆρος ἀπαιτοῦν εἰσάγοιτο, ὡς ἐν ἐκείνοις ἱκανῶς διώρισται. Σχήμασι δὲ σαφήνειαν κατορθώσομεν τοῖς ἀφηγηματικοῖς, καὶ ὀρθῶς ἐκφέροντες, μηδὲν πλαγιάζοντες ἢ συμπλέκοντες, ἐπαναφοραῖς τε καὶ ἐπαναλήψεσιν ἀναπαύοντες· ὅτι μὴ ἐναργῶς εἰρῆσθαι δοκεῖ, καὶ μεταβαίνοντες ἀφ' ἑτέρου ἐφ' ἕτερον. τοῦ μὲν συμπεπληρῶσθαι, τοῦ δὲ ἐπαγγελίᾳ χρώμενοι. Κῶλον δὲ τὰ μακρὰ καὶ κομματικὰ μάλιστα συμβάλλεται πρὸς ἐνάργειαν, ἀλλὰ καὶ ἀπαρτίζειν καθ' ἑαυτὰ τὰς ἐννοίας, καὶ ἐξ ὀνομάτων ἐντευξόμεθα σαφηνείας, ἢ τὰ μὲν κοινά ἐναργῆ τε καὶ ἐπίσημα θηρώμενοι, τεχνικά τε καὶ μεταφορικὰ οὐ προσοισόμεθα. τῶν πεποιημένων μέντοι ὅσα Ῥήτορσιν εὕρηται, καὶ μάλα εἰσὶ πρόσφορα εἰς σαφήνειαν, ἅτε δὴ κατὰ μίμησιν ἐκφερόμενα. μίμησις γὰρ πᾶσα ἐναργείας ποιητική, μάλιστα δὲ διηγήσει προσήκουσα· ὅπερ καὶ ἠθικὴ βούλεται εἶναι. ἦθος δηλαδὴ καὶ πρᾶγμα ἐμφαίνουσα, καθ' ὃν τὸ δηλούμενον εἴργασται. Ἀλλ' οἷς μὲν σαφήνεια ἐναπαρτίζεται ταῦτα.

ΠΕΡΙ ΠΙΘΑΝΟΤΗΤΟΣ.

Πιθανῶς ἀφηγησόμεθα, Πρῶτον εἰ τῇ τῶν προσώπων ἰδιότητι καταλλήλως τὰς ἐνεργείας ἀποδώσομεν. οἷον πλουτοῦντι μὲν, τὸ ἀσελγαίνειν. ὀργιζομένῳ δὲ, παραφρονεῖν. καὶ πρᾴῳ μὲν, καταλλάττεσθαι. δειλῷ δὲ, φεύγειν. καὶ τὰ ὅμοια. Δεύτερον, εἰ τὰς αἰτίας ἑκάστου τοῦ γεγονότος σαφηνίσωμεν, οὐ τὰς προσεχεῖς μόνον, ἀλλὰ καὶ τὰς πορρωτέρω.

τέρω. εἶτα καὶ ἐκ τῶν παρεπομένων, ἢ τὸν τόπον πρὸς τὸ πραχθὲν γεγονέναι ἁρμόζειν, ἢ τὸν χρόνον καθ' ὃν ἐπράχθη κατὰ λόγον ἐξενηνεγμένην τὴν διανομήν, καὶ τὰ λοιπὰ ὡσαύτως. Τελευταῖον δὲ καὶ ἐκ τοῦ πράγματος, ὃ διέξιμεν, εἰ τῶν ἀκουόντων ἤθεσι καὶ γνώμαις μὴ ἀντιβαίνοι. ἃ γὰρ παρά τισιν ἐν ἐπαίνου λόγῳ τυγχάνουσι, καὶ διὰ τοῦτο ἀναίδην εἰωθότα λέγεσθαι, παρ' ἄλλοις ἄθεσμα κρίνεται, καὶ ὁ πάντως ῥᾳδίως πλημμελήσει. Ἂν δέ τι παράδοξον ἔνεστι τῇ διηγήσει, ὁμολογητέον μέν, ὡς μέντοι ἀδύνατον διὰ τοῦτο ῥητέον, καὶ τὰς αἰτίας ἐξενεγκεῖν πειρατέον. Ἔστι δὲ διχῶς καὶ αὐτὴν ἐξενεγκεῖν τὴν διήγησιν. ἢ ἁπλῶς, ὅτε τὰ πεπραγμένα ψιλὰ ἐκτίθεται, ὡς ἐν τῷ κατὰ Κόνωνος αἰκίας Δημοσθένους, καὶ ἐν τῷ παραγραφικῷ πρὸς Ζηνόθεμιν. Ἐξεργαστικῶς δέ, ὅτε καὶ τὰς αἰτίας καὶ τὰ παρεπόμενα διὰ τὰ πραχθέντα ἀποφαινόμεθα. ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους, ἢ δὲ ἐν τῷ πρὸς Λεπτίνην, ἔνθα περὶ τὴν πρᾶξιν τοῦ Χαβρίου ποιεῖται τὸν λόγον ἐν τῷ χαρακτῆρι μάλιστα πρέπουσα. καὶ ταῦτα ὅτε περὶ γνωρίμων ὁ λόγος, ἀπαριθμήσει δὲ μᾶλλον, ἢ διηγήσει ἔοικε. Πλατύνεσθαι δὲ πέφυκεν ἡ διήγησις ἔκ τε τῶν παρεπομένων, καὶ προηγουμένων διεξοδικωτέρας ἀναπτύξεως, καὶ τῶν ἐκείνων αἰτιῶν. διαφερόντως δὲ ἐκ τριῶν τόπων, ὡς Ἑρμογένει δοκεῖ. ἐξ ἑρμηνείας ἐμπεριεκτικωτέρας τοῦ πράγματος. τοῦτο ποικίλοις ὀνόμασι καὶ κώλοις ἐκφέροντες πλείοσιν. ἐκ προσλήψεως τῶν τε παραλειφθέντων. καὶ ἐξ αἰτίας τῶν παραληφθέντων καὶ τῶν πραχθέντων. ἔστι δὲ καὶ συμφωνίας ἕνεκεν ὡς ἐπὶ προβλήματος, Ἀλιρρόθιος ὁ τοῦ Ποσειδῶνος Ἀλκίππην τὴν τοῦ Ἄρεως διακορήσας, καὶ ἡ διήγησις ὡς παρὰ τοῦ Ἄρεως.

» Προκατάστασις τῆς διηγήσεως ἢ προδιήγησις.

» Καί μοι ἀντιβολῶ κατὰ νοῦν ἀναλάβετε ἀφ' ἐγὼ παρὰ ἀνθρώ-
» πων ὕβρισμαι. πέπονθα τὰ φορητὰ καὶ τοῖς δικασταῖς τῶν
θεῶν,

θεῶν, μὴ ὅπως Ἄρει, τῷ καὶ ἄλλοις ὑβριζομένοις ἀμύνειν προσ-λαχόντι. (Ἐκ τοῦ παρεπομένου ἀμαθείας ἕνεκα) Ἦν παῖς Ἁλιρρόθιος ἐν ὑμῖν ὃς ἦν Ποσειδῶνος τοιουτοί ἐξεφέ-ρετο τοὺς νόμους, ἀσελγὴς ὑπὲρ τις ἄλλος, καὶ πρὸς ὕβρεις ἀνεπιλάσφαλής, ὃν οὐδὲν ἔτρεψε κακὸν, συγχωρήσειν ἀλλοτρίων λόγοις ἐπέβαλεν, πατρῶσι τὸ τόπων δυστυχίας ἐν τῷ τυχοῦσι προσῆλθεν. (Ἀρχὴ τῶν προηγησαμένων τῷ γεγονότι) Τοῦ-τον ἀνεψιὸν ὄντα ἐφορωμένῳ τε ὡς εἰκὸς ὡς τὰ μάλιστα φιλοφρονούμενος, καὶ πάντα τὰ μὲν αὐτῷ ἄσμενος ὑπηρετῶν, τὰ τ᾽ ἄλλα ἐφιλανθρωπευόμην, καὶ Ἀλκίππῃ (ὃν οἶσθα τι) θυγατέρα φιλτάτῃ, οὐχ ἧττον διὰ προσηκούσης προ-σῆκε, ἢ ὑπεσχόμην διὰ τὴν ὥραν, σιωπῆσαί τε παρεχόμενος καὶ διαλέγεσθαι. (Ἐκ τῶν παρειληφθέντων) Οὐχ ὡς μὰ Δία δεινόν τι παθὼν παρ᾽ αὐτοῦ ἢ πολεμηθεὶς, οὐδὲ τὸ τῆς παρθένου κάλλος ἐπιθυμήσας ὑποτοπήσας: (Ἐκ τῆς αἰτίας) Ἀλλ᾽ ὡς συγγενεῖ μᾶλλον καὶ οἰκείῳ ταύτῃ προσ-ενεχθῆναι, καὶ πρὸς συγγενεῖς, τὰ μὲν παραινέσεως συν-τελέσαι λόγοις, τὰ δὲ καὶ ἔργοις, ὅπως τις αὐτὴν λέγεσθαι ἐμφάσειν ἀπαιδεύτως ἁμαρτανόμενον τῷ παιδί. (Ἐκ τῶν παρα-λειφθέντων) Ὁ δὲ τελευταῖον ἀξιωθεὶς παρ᾽ ἐμοῦ, οὔτε τὸ ἀξιώματος τοῦ παιδὸς ἐντρέπετο ἀρθῆναι μόνον, οὔτε θεῶν δί-κην δεδιὼς ἐβάδιζε, οὔτε τὸ πατρὸς ἀξίωμα αἰδεσθεὶς, πολιοῦ ὄντος, καὶ τὸ τῶν θεῶν ὑπατέρου ἀδελφοῦ, οὔτε μὴν ἀδ-δίκως τὸν αὐτὸν ποιεῖ δέος. (Ἐκ τοῦ ἐπομένου διὰ τὸ προσ-ῆκον) Ἀλλ᾽ ἀμείψατο τῆς φιλανθρωπίας τὴν ἡμῶν αἰδ-κίᾳ, πονηρίᾳ δὲ τῆς φιλοφροσύνης, καὶ τὴν πίστιν ὕβρει τὴν περὶ τὴν χάριν: (Ἐκ τῶν παραληφθέντων) Ἀποστρέψας αὐ-τὴν συγχωρήματος ὄγκον, ὁ παῖς θερμαινόμενος, οὐχ ἑαυτῷ ὁμιλῶν, οὐχ ὁρμῶν, ἐν προθύροις, οὐχ ὅσ᾽ ἄλ-λα ταῖς παρθένοις εἰς κόσμον ὑπόκειται, ἀλλὰ τὸ παντων παρθένων προσπιπτούσῃ τε καὶ τιμαλφέστατον, καὶ ὕπερ

ἅπαξ

,, ἅπαξ ὑποληφθὲν, οὐκ ἔνι λοιπὸν ἀνακαλέσασθαι τὴν
,, παρθενίαν.

ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ ΚΑΙ ΑΚΜΗΣ
ἐν ταῖς διηγήσεσι.

Ὁποῖα δ' ἂν ἡμῖν ἀκμαίως καὶ μετὰ γοργότητος ἀφηγήσασθαι βουλομένοις ᾖ, αὐτό τε τὸ πρᾶγμα καὶ τὴν περὶ τοῦ πράγματος ἀξίωσιν, καὶ προσέτι τὴν ταύτης αἰτίαν ποικίλοις τοῖς σχήμασι καὶ διαφόροις τοῖς κώλοις ἑρμηνευτέον. ὅπερ ἐντεῦξαι τῷ Ἑρμογένει παρατετήρηται ἐν τῷ περὶ διηγήσεως. δῆλον ὑπὸ τοῦ ἐκτεθέντος προβλήματος. (Ἐκ τοῦ πράγματος) Ὀφθαλμιῶσα ἀδίκως αὐτὴν εἶδε, καὶ εἶδεν ὅλον, καὶ ἀλλοῖα τοίνυν προσεῖπεν; ἀλλὰ διέφθαρτε· χεῖται προσαγαγοῦσα, καὶ ἄνεσιν τὰ μὲν ἐπέμπετο, τὰ δὲ ὑπεχώρει, ἀλλ' ὑπεκρίνετο. κελεύσαντι λοιπὸν διὰ τὴν βίαν, μακρὰν χαίρειν φράσαι τὸ πάθος, καὶ χεῖρας ἐπιφέρει παρθένῳ, ἐφ' ὧν ὀφθαλμιῶσα προέτεινε. καὶ ἡ μὲν δυσφορεῖ, ἀρνεῖται, ἀντιβολεῖ, δακρύει, σημαίνει τὸ παρθένος, ἀλλ' ἀγνοεῖ οὐδὲν ἐνθυμηθεὶς ἐλεουμένη. (Ἐκ τῆς ἀξιώσεως)

Τίς οὕτω θρασὺς καὶ ἀπήγητος, ὃς οὐκ ἂν ἐδυσχέρανε τοῖς πεπραγμένοις, μὴ ὅτι αὐτὸς ἂν τῆς ταῦτα παθούσης, ἀλλὰ καὶ τῶν πραξάντων εἷς ἄλλος, καὶ αὐτὸς ὁ ἀντίδικος. τίς οὖν μισήσειε τὴν ἀσέλγειαν καὶ ἐπιβουλὴν τοῦ ταῦτα πεπραχότος; τίς οὐκ ἂν συναγωνίσαιτο τῇ παρθένῳ, καὶ τίς ἀμύνειν διακαρτερήσειε δίκαιον εἰσπράξασθαι παρ' αὐτοῦ τὴν προσήκουσαν; (Ἐκ τῆς αἰτίας τῆς ἀξιώσεως) Δι' ὃν προσηκόντως ἐφρίξε. δι' ὃν παρθένος οὐκ ἔνι παρθένος. δι' ὃν ἀνεπιγάμιστοι γάμοι, καὶ θεσμοὶ φύσεως διαλύονται. ποία γὰρ ἐν ἀνθρώποις τοῦ λοιποῦ πίστις, εἴπερ ἐν συγγενέσι παραφθορεῖ τολμᾶται; τίς δὲ εἴσω εἰς τίμιον προσερχεῖται ἔλαιον, ἂν ὁ τοῦ Ποσειδῶνος ἀσελγαίνων, οὐκ ἐν δίκῃ κολάζεται;

ΕΝ

ΕΝ ΤΙΣΙ ΤΩΝ ΛΟΓΩΝ ΑΝΑΓΚΑΙΑ ἐστὶν ἡ διήγησις, ἐν οἷς δεῖ διηγεῖσθαι, καὶ πῶς;

Οὐ πανταχοῦ μέντοι τῶν λόγων οὐδὲ τὸ ἀναγκαῖον ἐστὶν ἡ διήγησις, ἀλλ' ἔστιν ἃ καὶ ταύτην παντάπασιν ἀποποιεῖται. καὶ οὐδὲ ἐν οἷς ἐνδεῖ διηγήσεως ἐφ' ἑκάστου τῶν κατὰ μέρος, ἐν τούτοις περιβαλλομένων ἐστὶν ἀναγκαῖα, αὐτίκα δὴ τοῖς καθ' ἐπίδειξιν ἐφ' οἷς μᾶλλον δοκεῖ τῶν ἄλλων ἐμφιλοχωρεῖν ἡ διήγησις, ἐπειδὰν αἱ πράξεις γνώριμοι ὦσιν· οἷον αἱ τοῦ Ἀχιλλέως, ἢ Αἴαντος, περιττὸν πάντως ἡ ἀφήγησις. δεῖ γὰρ τιμιωτάτην ἐπαγγελίαν ταύτης αὔξεσθαί τε καὶ ἐμπεπλῆσθαι τὸν Ῥήτορα, ὁμοίως διατρίβειν παρεντυλλοῦντα καὶ παλιλλογοῦντα, ἃ τοῖς κουρεῦσιν (ὅ φασι) δῆλα. ποιεῖ γὰρ πρὸς τὸ περίεργον, καὶ ἀποκναίει τοὺς ἐπαΐοντας διὰ τὸν κόρον. ἐν οἷς δὲ οὐδὲν ἢ πάνυ ὀλίγα περὶ τοῦ ἐγκωμιαζομένου ἴσασιν οἱ ἀκροαταὶ, καὶ τούτων ὀλίγοι, διηγητέον μὲν, οὐ μὴν πάντα ἐφεξῆς καὶ ἀδιακόπως κατὰ συνέχειαν. δυσμνημόνευτον γὰρ τὸ τοιοῦτον, καὶ πλάνην ἐμποιεῖ τοῖς ἀκούουσιν ἐν καιρῷ τῶν αὐξήσεων. ἀλλ' ἕκαστον τῶν τοῦ ἐπαινουμένου κατορθωμάτων, καὶ τῷ λόγῳ χρησίμως καθ' αὐτὸ ἀναφραστέον, ἴδια καὶ ἐπαυξητέον, οἷς ἐν τοῖς περὶ πίστεως κεφαλαίοις ἐρρήθη, οὐ παραπέμπτος ὡς ἐξ ὑπαρχῆς τινὰ ματίζασιν ἐφ' ἕτερον ποιητέον.

ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ τοῦ δικανικοῦ δὲ, τοῖς μὲν κατηγοροῦσι προὔργου ἐστὶν ἡ διήγησις, ἐγκατάσκευος μέντοι ὡς τὰ πολλὰ καὶ μετὰ δριμύτητος ἐκφερομένη. οἱ δὲ ἀπολογούμενοι μόλις μὲν ἀπέχονται διηγήσεως, ἐπειδ' ἂν δὲ καὶ ἅψωνται, καὶ συντετμημένως μάλιστα τοῦτο μεθοδεύονται.

καὶ ἐφ' ὅσον ἂν τοῦ ἀντιδίκου καθάψαιντο, εἴ τι μὴ ὀρθῶς ἀφηγήσαιτο: Ἡ δημηγορία δὲ καθ' αὐτὴν ἀφαιρετικὴ ἐστὶ διηγήσεως (ὥς φησιν Ἀριστοτέλης) ἅτε δὴ περὶ τῶν μελλόντων ποιουμένη τοὺς λόγους, ἔνθα ἡ διήγησις παρῳχηκότων ὑπάρχει ἀνάπτυξις. παραδείγματος δὲ ἕνεκα καὶ τὰ προγεγενημένα πολλάκις ἀνιστορεῖ ὁ δημηγορῶν· ὡς ἂν ἐκείνων μαθόντες οἱ ἐκκλησιασταὶ, ἀσφαλέστερον περὶ τῶν εἰς ὕστερα ποιήσωνται τὴν διάσκεψιν:

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

Ἀλλ' ἐπειδὴ οἰκίαν δημιουργοῦντες προπύλαιά τε καὶ προαύλια, καὶ τὰ πέριξ αὐλῆς διαπρεπῶς ἀνεγείραντες, χωροῦμεν καὶ πλαξὶ ἐνδιεσμέναις μαρμαίρουσιν εἰς κάλλος ἀποφαιδρυνόμενα. εἴ που θαλάμους τε καὶ ἀνδρῶνας, διαπρεπέστερον ἐκκοσμοῦμεν τε καὶ εἰς ὕψος ἐγείρομεν, εἰ μὴ παρὰ τοῖς ὁρῶσι χαρίεν ἀπειροκαλίας φόγον ἐμέλλομεν. φέρε δὴ κἀπὶ τοῦ παρόντος ἐπεὶ μὲν ὅτι τῶν τοῦ λόγου προθύρων κόσμος ἄλλος ὄχετ' δοκεῖ, τότε τὰ πέριξ αὐλῆς κατὰ τὸ ἐγχωροῦν διακοσμεῖ τε καὶ ἀπαρτίζεται. ἐπ' αὐτὴν ἤδη χωρῶμεν τὴν τοῦ λόγου οἰκίαν τὴν πίστιν, περὶ ἣν τὰ λοιπὰ φιλοτιμεῖται, καὶ ἧς ἕνεκα λόγου ἐν λόγῳ ἠξίωται. εἰ γὰρ τὸ κεφαλαιον ὁ Ῥήτωρ ἐν πᾶσιν ἐστὶ θεραπευτικὸς, ἡ πίστις ἀντὶ πάντων ἐκείνῳ ἔστω, ἐπεὶ τούτου ἐστὶ φορμιώτατον ἀνύστατον ἡ πίστις, ἐπιχείρημα ὅσα τῷ ζητουμένῳ ἁρμόζον ἐστὶ θέτερον προθυμότερα.

Τοιγαροῦν πρὸ πάντων ἐφ' ἑκάστου προβληθέντος ζητήματος τὴν σημασίαν σκοπεῖν δέον ἐκείνων τῶν λέξεων, δι' ὧν ἐκφέρεται τὸ ζητούμενον. ἵνα τὴν εἰς τὸ ἀκριβὲς κατάληψιν, οἱονεί κρηπῖδα τοῦ ὅλου λόγου προκαταβαλλώμεθα· ταύτας δὲ ἐγνωσμένας, τὴν τῶν ὀνομάτων ποιότητα, πότερον ἴδια ἐστὶν, ἢ κοινὰ, ἀναθεωρήσομεν. τοῦτο δ' εἰπεῖν, εἰ προσηγορικόν ἐστι τὸ προβληθὲν, εἰ τῶν ἀπαρεμφάτων. ἰδίαν μὲν

γὰρ

γὰρ ποιότητα ἔλαχε τὰ προσωπικά, οἷα εἰσὶν ὅσα ἐξ ὡρισμένων σύγκειται καὶ κυρίων ὀνομάτων. ὧν γένος, καὶ ἀγωγὴ, καὶ παιδεία, πράξεις τε, ἐπιτηδεύματα, ἢ ἀκοῇ ἴσμεν, ἢ ἐξ ἱστορίας παρειλήφαμεν. ἃ καὶ ἀφθονεστέραν μεταδίδωσι τὴν τῶν ἐνθυμημάτων εὐπορίαν, ὡς πᾶσιν ἐν ἑαυτοῖς συλλαβόντα ὕλην τε καὶ ποιότητα. κοινὴν δὲ κέκτηται τὴν ποιότητα, ὅσα ἀποίωτα, ἃ καὶ τοῖς χρηματιζομένοις προσηγορικὰ κέκληται. οἷον πατήρ, υἱός, μοιχός, ῥήτωρ, καὶ τὰ ὅμοια. ὧν καὶ οἱ τῶν ἐπιχειρημάτων τόποι, οὐχ ὅτι καθόλου, ἀλλὰ καὶ κοινοὶ τυγχάνουσι τῶν τε ὁμοταγῶν. ταῦτα γὰρ ἐνθυμήματα ἐπὶ πάντων ἁρμόττει τῶν ὁμοίων προσώπων. μετὰ δὲ ζητητέον τῶν αἰτιῶν, ἐφ' ἣν τὸ προβληθὲν ἀναφέρεται ζήτημα. περὶ ὧν ὅσον ἐγχωροῦν ἦν τῷ συντόμῳ τῆς πραγματείας ἐν τῇ προθεωρίᾳ εἴρηται, καὶ παρ' Ἑρμογένει ἀποχρώντως πεποιήκαμεν τὴν διάσκεψιν. καὶ τελευταῖον εἰς τίνα τῶν τεσσάρων ἐκείνων τῶν λόγου γενικῶν τελεῖ βάσεων διορίζομεν. ὧν ἁπάντων ἡ θεωρία περιλαμβανομένη, τὴν τῶν ἐπιχειρημάτων εὕρεσιν εὐοδωτέραν παρέχει ἄν. ὡς σαφεστέραν τῶν εἰρημένων διάγνωσιν. οὐκ ἄπο σκοποῦ τὸν λόγον ἐφ' ὑποδείγματος γυμνάσαι. Κείσθω δὲ ἡμῖν τὸ ζητούμενον ἐπὶ τοῦ παρόντος, πότερον ὠφέλιμος ἡ περὶ τὴν ἀστρονομίαν χρεία, ἢ οὔ. οὐ τὴν τῶν λέξεων σημασίαν ἀνερευνήσαντες, εὑρίσκομεν, τὴν μὲν ὠφέλιμος σημαίνουσαν πιστοποιοῦ ἐς εὐπόρησιν τινὸς ἀγαθοῦ συμβαλλόμενον. τὴν δὲ ἀστρονομίαν ἐπιστήμην περὶ τοὺς ἀστέρας, χρείαν δὲ δεῖν, ὅτι τὴν ἐργασίαν σημαίνει, νυνὶ δὲ τὴν περί τι σπουδὴν καὶ διατριβήν. τούτων δ' ἐγνωσθέντων τὴν τῶν ὀνομάτων ποιότητα διασκεπτομένη κοινὴ ἀναφαίνεται. οὔτε γὰρ ἐνταῦθα, τὸ περὶ οὗ κατά τι ὠφέλιμος ζητεῖται, οὐδὲ εἴ τις ἀστρολογία, ἀλλ' ἁπλῶς καὶ τῶν προσωπικῶν ἐξῃρημένον. τεθέμενοι δ' αὖ ὁρῶμεν τὸ πρόβλημα τῶν ἀνωτάτω ἐκείνων ζητήσεων

ζωὴ τῆς πολιτείας· ὑποτίθεται γὰρ ἐνταῦθα ἥ τε ὕπαρξις τῆς ἀπολογίας, καὶ τὸ τί ἐστιν. ἀμφισβητεῖται δὲ εἰ ἐπωφελές. Ἔστι δὲ λογικὴ ἡ στάσις, καὶ περὶ μέλλοντος οὖσα πράγματος. ὅθεν καὶ εἰς γένος ἀναφέρεται τὸ συμβουλευτικόν. προτρέπει γὰρ ἐνταῦθα ὁ συμβαλλόμενος ταῦτα, τοίθειν ἀστρονομίας ἀντιποιεῖσθαι. ἔστι δὲ πως καὶ λανθανόντως ἐγκώμιον. ἐφ᾽ ἃ γὰρ προτρέπομεν, ταῦτα τῶν ἀγαθῶν εἶναι καὶ ἐπαινουμένων ὑποτιθέμεθα: Ταῦτα οὖν ἱκανῶς προκαταθεωρηκότες, λοιπὸν εἰς τὴν τῶν ἐπιχειρημάτων ὕλην (ἣν καὶ στοιχεῖα τε καὶ τόπους τῷ Ἀριστοτέλει καλεῖν σύνηθες) τὴν μετάβασιν ποιησόμεθα. ὅθεν ἂν οἷοί τε ὦμεν ἐνθυμημάτων ἀθροῖσαι εἰς τὴν τοῦ ὑποκειμένου σύστασίν τι καὶ διασκεύασιν:

Οἱ γοῦν τόποι κατὰ τὴν προτέραν διαίρεσιν γενικῶς δίχα τέμνονται. εἴς τε τοὺς ἀτέχνους, καὶ ἐντέχνους, ὡς καὶ ἀνωτέρω δεδήλωται. ὧν θάτερον μέρος καὶ λόγου μακροτέρου καὶ πλατυτέρας τῆς περὶ τοῦ Ῥήτορος ἀπεργασίας δεῖται. πλὴν ὅσον ἐς χρῆσιν καὶ ἀπαγγελίαν ἀνήκει. θάτερον δὲ τέχνης δεῖται, ἐπειδήπερ καὶ ἔντεχνον. ὃ καὶ τετραμερῆ τὴν διαίρεσιν εἴληχεν. ὅσοι γάρ τι οὐσιῶδες δηλοῦσι τοῦ ὑποκειμένου περὶ οὗ ἡ ζήτησις, οὐσιώδεις εἰκότως ἂν κληθεῖεν. ὅσοι δέ τινος τῶν περὶ τὴν οὐσίαν εἰσὶ δηλωτικοὶ, πάντως ἐπουσιώδεις. οἱ δ᾽ αὖ ἐκτός τε μεθεστηκότες, κοινοὶ λέγοιντ᾽ ἂν ὡς πᾶσι κατὰ ταὐτὰ ἐφαρμόζοντες. Οὐσιώδεις μὲν οὖν ἂν εἶεν. ὅρος. ὑπογραφή. ἐτυμολογία. συστοιχεῖα. γένος. εἶδος. διαφορά. οἷς συναριθμείσθω καὶ τὸ ἴδιον. Ἐπουσιώδεις δὲ, ὅσοι τῷ ζητουμένῳ παρέπονται, καίπερ τῆς οὐσίας ἐκείνου εἰσὶν ἀλλότριοι. τοιοῦτοι δὲ εἰσίν. αἰτία. ἐνέργεια, ἤτοι ἀποτέλεσμα. πρᾶξις. ἐναντίον. τόπος. χρόνος. καὶ εἴ τι τούτοις παρεμφερές. Ἐκτὸς δὲ ὡς καὶ κοινοὶ προσαγορευθέντες ὁρισθέντες εἰσὶν οὗτοι, ὅμοιον. ἀνόμοιον. ἴσον. ἔλαττον. μεῖ-

ζον.

ζον. ἐναντίον. ἀντικείμενον. στερητικόν. ἀξίωσις. εἶτ' οὖν μεθορία.

ΠΕΡΙ ΟΡΟΥ.

Τῶν οὐσιωδῶν τύπων οὐκ ἀπεικότως ὁ ὅρος τὴν πρώτην εἴληχε τάξιν, ἐπεὶ καὶ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος οὐσίας ἐστὶ λόγος συντετμημένος ὡς ἔνι τὰ μάλιστα καὶ ἀριδήλως ἐμφαντικός. Δεῖ δὲ τὰ ἐν ὁρισμῷ παραλαμβανόμενα, οὐσιώδη τε εἶναι, καὶ πρότερα τῇ φύσει, καὶ γνωριμώτερα. ἐκεῖνο μὲν, ὅτι τῆς οὐσίας τυγχάνει δηλωτικά. τοῦτο δ' αὖ, ὅτι καὶ δηλωτικά. τοιαῦτα δὲ εἰσὶ τό τε γένος καὶ αἱ διαφοραί. ὧν τὸ μὲν γένος καθολικώτερον ὂν, καὶ ἐπὶ πλέον ἐκτεινόμενον, ἡ διαφορὰ ἐπελθοῦσα συστέλλει τε καὶ συμπιέζει, καὶ τὸν ὁρισμὸν ἰσόρροπον ἀποκαθίστησιν. οἷον ἐπὶ τοῦ προβληθέντος ζητήματος. Ἀστρολογία (εἴ τις φαίη) ἕξις ἐστὶ θεωρητική. ἀληθεύσει μὲν, οὔπω δὲ καὶ τὴν οὐσίαν ἐκείνης διακεκριμένως δηλώσει. κοινὸν γάρ τουτὶ καὶ ἐπὶ πάσας ἐκτεινόμενον τὰς ἐπιστήμας. ἂν δ' ἐπαγάγῃ, περί τε τὰς ἐποχὰς καὶ φορὰς τῶν οὐρανίων σωμάτων στρεφομένη, καὶ τὰ ἐν τοῖς καθ' ἡμᾶς ἐκ τούτων ἀποτελούμενα, τὴν ἀστρολογίαν ὁλοκλήρως ἀφορίσας ἔσται, καὶ διακρίνας παντὸς ἄλλου. πρὸς ὃ μηδαμῶς πρότερον ἀντιδιεστέλλετο. Θαυμάσιον δέ τι χρῆμα ἡγεῖται Ἑρμογένης τὴν τέχνην, ἣν αὐτὸς ἐπινενοηκέναι φησὶ πρὸς ἀνασκευήν τε καὶ κατασκευὴν τὴν περὶ τοὺς ὅρους. πολὺ ἐστὶν ἐκ τῶν παρεπομένων καὶ εἰωθότων συμβαίνειν τοῖς πράγμασι, τοὺς ὅρους ἀνασκευάζειν τε καὶ κατασκευάζειν. ἀλλ' ἐκεῖνος μὲν τοῖς δικαζομένοις ἰδιαίτερον. καὶ μάλιστα ἐπειδὰν περὶ τὸν ὅρον συσταίη ἡ ἀμφισβήτησις: Τοῖς δὲ δημηγοροῦσι τὸ καὶ πανηγυρίζουσιν οὐ πάνυ εὔχρηστος. ὅτε γὰρ ὡς ἀρχὴν τὸν ὅρον λαμβάνοντες ἐκ πρώτου πειρῶνται συναγαγεῖν τὸ ἀμφισβητούμενον. καὶ τὸ ὑπόδειγμα ἔστω ἐπὶ τῆς παρθένου. ὃ καὶ κατὰ Ῥήτορας ἐκθησόμεθα, μακρὰν τῆς τῶν διαλεκτικῶν ἀκριβολογίας

Λ δ φροντ-

» ἐρευνήσωμεν. Θεῖον τοίνυν καὶ πάντως ὑπέρμετρα θαύματος τὸ
» περικαλλὲς τοῦτο καὶ ποικίλον ὑπὲρ κεφαλῆς θέαμα· ἐλελισσόμενον
» μὲν ἐν κύκλῳ τῆς γῆς, καὶ περὶ αὐτὴν διηνεκῶς ἑλιττόμενον,
» οἱονεὶ λίθοις ἐνανθέσι κεκοσμημένον τοῖς ἄστρασιν, ἡλίῳ σε-
» λήνῃ εἰς τὸ διηνεκὲς καταυγαζόμενον. ὃ καὶ ὁρᾶν μὲν ἔκπληξις,
» καὶ μὴ ὁρᾶν ἐσχάτη δυστραγία νομίζεται, δῆλον τοῦτο εἴ τις ἡ-
» μᾶς ἀναγαγὼν ἐξαναγκάσῃ χρόνῳ ἄστρων καὶ δρόμους, αὐγάς
» τε καὶ ἀνατολὰς ἡλίου καὶ σελήνης ὑποδείξας, πόσου ἂν ἐπι-
» μησαίμεθα; τοιοῦτον τοιγαροῦν ἡ ἀστρολογία. ὅθεν οἷον τινὶ
» ὀξυωπεῖ φαρμάκῳ τῶν γεωμετρικῶν ἀποδείξεσι τῆς διανοίας
» τῇ διανοίᾳ ἀχλὺν ἀποκαθαίρουσα, ὀξυδερκῆ πρὸς τὴν τῶν
» ἀκηράτων ἐκείνων σωμάτων θέαν ἀπεργάζεται. Εἶτα ἐ-
παναγαγόντες καθ' ἕνα τὰ τοῦ ὁρισμοῦ μέρη, ῥητορικώτερον ἑρμηνεύσομεν. Εἰ δέ ποτε καὶ ἀνασκευάσαι βουλοίμεθα τὸν ὁρισμὸν, σκεπτέον εἴ τις ἐν αὐτῷ εἴληπται λέξις ὁμώνυμος, ἢ ἐκ μεταφορᾶς. ἢ ἀσαφὴς καὶ καταχρηστικῶς. ἢ ἂν περιττόν τι πρόσκειται καὶ περίεργον. ἢ ἀφαιρεθέντος, τοῖς καταλειπομένοις δηλοῦται ἡ οὐσία τοῦ ὁριστοῦ, εἴ τι παρειμένον ἢ παρηλλαγμένον ᾖ, ἢ ἄλλως, ἐλλειπὴς ὁ ὅρος καὶ ἀσαφής; Ἐκ τούτων οὖν καὶ τῶν ὁμοίων τόπων ἀνασκευάζειν τὸν ὁρισμὸν, ὥσπερ καὶ κατασκευάζειν ἐκ τῶν ἐναντίων. Ἔστι δὲ πολυπλοκωτέρα μέθοδος εἰς ἀνατροπὴν καὶ ἐμπέδωσιν τοῦ ὅρου, ἣν εἰσηγεῖται Ἑρμογένης ἐν τῷ περὶ ὅρου. αὕτη δὲ διαλεκτικοῖς μᾶλλον καὶ φιλοσόφοις προσήκουσα, οὐ μὴν ἤδη Ῥήτορσιν ἀνοίκειος, καθ' ἐκείνους ἐκφερομένη.

ΠΕΡΙ ΥΠΟΓΡΑΦΗΣ.

Ὑπογραφὴ ὅρος ἐστὶν ἀτελὴς, καὶ ὡς περιγεγραμμένος τὸ τί ἐστιν ὅτου τοῦ ὑποκειμένου οὐσίας κατά τινα τυπώδη τῶν συμβεβηκότων ὑπογραφὴν, ἐπονομαζόμενος ὡς ἅπερ ὑπογραφή· οὐδὲ μονοειδὴς ἐστὶ καὶ ἁπλῆ, ἀλλὰ πολλῶν ὄν-

των

των τῶν συμβεβηκότων, πολυειδῆ τὴν λῆψιν ἔλαχεν. ἔστι γὰρ ὑποτυπῶσαί τε καὶ διαγράψαι τὸ [illegible]. Ἡ ἀπὸ τοῦ ποιητικοῦ αἰτίου, ὡς τοῦ Πλάτωνος ἐν ὅροις. Ἡμέρα ἐστὶν ἡλίου πορεία ἀπὸ ἀνατολῶν εἰς δυσμάς. Ἡ ἐξ ὕλης καὶ ὧν σύγκειται μερῶν. οἷον οἰκία ἐστὶν, ἥτις ἐκ θεμελίου συνέστηκε, καὶ τοίχων, καὶ στέγης. Ἡ ἐκ τοῦ τέλους ἤτοι ἀποτελέσματος. ὡς ἐπὶ τοῦ [illegible]. Ἀστρολογία ἐστὶν, ἡ ἐθίζουσα τὴν ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν, καὶ ἀπὸ ἐνθένδε ἐκεῖσε μετάγουσα. ὁμοίως καὶ ἐκ τῶν λοιπῶν συμβεβηκότων. ὡς ἐπὶ τοῦ ἀνθρώπου. Ἄνθρωπός ἐστι ζῶον ὀρθο[illegible], ἄπτερον, πλατυώνυχον, χερσὶ χρώμενον, καὶ τὰ ὅμοια: Ἔστι δ᾽ ὅτε καὶ μεταφοραῖς ἤτοι ὁμοιώσεσι τὴν οὐσίαν ἐμφαίνομεν. οἷον ἄρχων ἐστὶν ὁ [illegible] τοὺς οἴακας τοῦ σκάφους τῆς πόλεως. Χρώμεθα δὲ τῇ ὑπογραφῇ πρός τε τὸ ἀνασκευάζειν καὶ κατασκευάζειν κατὰ πάντα τοῦ ὁρισμοῦ, ἐπεὶ καὶ ὁρισμός ἐστιν ὡς εἴρηται. καθ᾽ ὑφ᾽ ἐλλειπής. οἷον ἐπὶ τοῦ [illegible] ἐπιχειρεῖν ἐνδέχεται. Οἶμαι δὲ πάντες ἂν ὁμολογήσαιμεν ἐκείνην εἶναι τῶν ἐπιστημῶν τὴν καλλίστην καὶ τελεωτάτην, ἥπερ ὡς ἐφικτὸν ἀνθρώπῳ τῶν χαμαιζήλων τούτων καὶ ἐπικήρων τὴν ψυχὴν ἀνασπῶσα, τὰ θεῖά τε καὶ ἀκήρατα ἐποπτεύειν κατασκευάζει, καὶ διὰ τῆς θέας τῆς ἐκείνων συνάπτει κάλλεσιν ὧν ἀμυδρᾷ τινι φαντασίᾳ ἐν ἐπινοίᾳ τινὸς γενέσθαι πάντων τῶν περὶ τὰ καθ᾽ ἡμᾶς ὑποδείξεων κρεῖττον νομίζεται. ἀμέλει τοι διαφερόντως ἀστρολογία ἐργάζεσθαι πέφυκεν. ἥτις ἐστὶν ἡ μάλιστα περὶ [illegible], καὶ τὰ ἑξῆς.

ΠΕΡΙ ΕΤΟΙΜΟΛΟΓΙΑΣ.

Ἐτυμολογία, ἥτις καὶ φερωνυμία λέγοιτ᾽ ἂν καὶ ἔτυμον, μετάληψίς ἐστι τοῦ ὀνόματος εἰς λόγον ἑρμηνευτικὸν τῶν ἐξ ὧν σύγκειται μερῶν, ἢ ὅθεν παρῆκται, ἢ (ὥς φησιν Εὐστάθιος) λόγος ἐπαναληθίζουσαν δεικνὺς τὴν λέξιν τῇ φύσει

τοῦ

τοῦ προβλήματος. οἷον ἔμψυχος, ὁ εὖ τὴν ψυχὴν ἔχων. καὶ ἀστρολογία, ἡ τῶν ἄστρων σκεπτομένη τοὺς λόγους. ἐξ ἐτυμολογίας τοιγαροῦν εἰς ἀνασκευήν τε καὶ κατασκευὴν τῶν ζητουμένων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι ἂν (ὥς φησιν Ἀριστοτέλης) τὰ ὀνόματα ἐπὶ τὸν λόγον μεταγαγόντες, τοῦτον δείξομεν ἐφαρμόττοντα, οἷς ἂν ἡμῖν πρόκειται, κἂν μὴ δεικνῇ τοὔνομα. οἷον ἔμψυχος μὲν ἰδιάζεται τῷ ἀνδρείῳ. εἰ γοῦν βουλόμεθα, καὶ τὸν ὀντινοσοῦν ἀρετὴν κεκτημένον ἔμψυχον ἀποδεῖξαι, μεταληψόμεθα τοὔνομα εἰς τὸν λόγον, ὅς τις ἐστὶν ὡς εἴρηται, ὁ εὖ τὴν ψυχὴν ἔχων. εἶθ' οὕτω καὶ δικαίῳ καὶ σώφρονι, καὶ ἁπλῶς πᾶσι τοῖς ἀμεινοῦσι τὴν ψυχὴν διά τινος τῶν ἀρετῶν εὖ διατεθειμένοις ἐφαρμόττον τὸ πρόβλημα δείξομεν. ἢ ἐπὶ τοῦ προτεθέντος. εἰ βουλόμεθα τὴν ἀστρολογίαν ἀδιαμάρτητον ἀποφῆναι περὶ τὴν τῶν ἀστέρων θεωρίαν, ἐροῦμεν μεταλαβόντες πρότερον τὴν λέξιν εἰς τοιόνδε λόγον. Ἀστρολογία ἐπιστήμην δηλοῖ καταληπτικὴν τῶν περὶ τοὺς ἀστέρας λόγων. ὁ τὸν λόγον τινὸς ἔχων, οὐκ ἄν ποτε διαμάρτοι οὗπερ τὸν λόγον ἔχει. ἀλλὰ μὴν ἡ ἀστρολογία ἔχει τῶν ἀστέρων τοὺς λόγους ὧν ἐστὶ καταληπτική. οὐκ ἄρα ἡ ἀστρολογία μόγις οὐ μάτην τοιαύτη διαμάρτοι περὶ τὴν τῶν ἀστέρων θεωρίαν. Ὅτι δὲ ἡ ἀστρολογία καταληπτικὴ τῶν περὶ τοὺς ἀστέρας λόγων, τοῦτο τῇ τῶν ὁμοίων παραθέσει ἐμπεδώσομεν. καὶ γὰρ φυσιολογία ἐστίν, ἡ τοὺς τῆς φύσεως λόγους ἔχουσα. καὶ θεολογία, ἡ τοὺς περὶ θεοῦ καὶ τὰ ὅμοια: Ἔστι δὲ καὶ ἄλλως ἐξ ἐτυμολογίας ἐπιχειρημάτων εὐπορῆσαι, ἤπερ οἰκείως καὶ καταλλήλως τὰς τῶν προσώπων ἐνεργείας κοινῶς διερμηνεύσωμεν. τὰ ὀνόματα τὰ ἐφ' ἑτέρας μὴ μεταφέροντες, μήτε συλλογιζόμενοι. ὃ καὶ φερωνυμία ἰδιαίτερον προσαγορεύεται. ὃ καὶ μᾶλλον ἐπιπολάζον ἐστὶν ἰδεῖν παρά τε Ῥητόρων καὶ Ποιητῶν τοῖς συγγράμμασιν, ὡς τὸ τοῦ Ἡροδίκου παρ' Ἀριστοτέλει. ὃς τοὺς

δη-

δράκοντος νόμους ἀναφαυλίζων, οὐκ ἀνθρώπου, ἀλλὰ δράκοντος ἐπικαλεῖ. χαλεπὸν γάρ. ἐπιτήδειος δὲ ὁ τόπος εἰς ψυχαγωγίαν τοῖς κωλαρίοις κεχρημένοις:

ΠΕΡΙ ΓΕΝΟΥΣ.

Διαλεκτικοὶ μὲν, καὶ ὅσοι τῆς φιλοσόφου φατρίας βαθυτέραν εἰώθασι τὴν περὶ γένους, εἴδους, καὶ τῶν λοιπῶν καθόλου φωνῶν θεωρίαν ποιεῖσθαι. ἀκριβέστερον γὰρ ἐρευνῶσι περὶ τούτων, εἴτε τῶν ὑφεστηκότων εἰσὶν, εἴτε ψιλῇ καὶ μόνῃ τῇ ἐπινοίᾳ τὴν ὕπαρξιν ἔχει· καὶ εἰ τῶν ὑφεστηκότων τυγχάνει, πότερον σώματά εἰσιν, ἢ ἀσώματα. καὶ τούτων αὖ, εἴτε καθ' ἑαυτὰ καὶ ἐκτὸς τῆς ὕλης, εἴτε ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις ὑπάρχει. κατηγορίας αὐτῶν τούτων ἀναπτύσσοντες, χρήσεις τε καὶ ὁρισμοὺς ἀναθεωροῦντες, καὶ πᾶν ὁτιοῦν εἰς τελεωτέραν περὶ τούτων πραγματείαν πολυπραγμόνως ἀνακρίνουσιν.

Οἱ δὲ Ῥήτορες ὑπτιώτερόν πως περὶ αὐτῶν διαλαμβάνουσι πρὸς τὴν τῶν ἀκροατῶν ἀμάθειαν διαφερόντως μᾶλλον ἀφορῶντες, ἢ πρὸς τὴν τῶν ὄντων ἀλήθειαν. ἐφ' ὅτῳ δὴ καὶ τῶν συντιθέντων τὰς τῶν λόγων τέχνας, οὐδεὶς περὶ τούτων διακεκριμένως φαίνεται πραγματευσάμενος. τοῖς μέντοι ἀπὸ τούτων ἐπιχειρήμασι, συχνοῖς μάλα ἐστὶν ἐντυχεῖν παρά τε Ποιηταῖς τε καὶ Ῥήτορσιν. ἐκ γὰρ τῶν μέχρι τοῦ δε ἐκτεθειμένων τόπων, ῥᾳδίως ἐστὶν ἰδεῖν ἐπιχειροῦντας τοὺς Ῥήτορας. ἔστι τοιγαροῦν ὑπογράψαι τουτοδὶ τὸ γένος.

Γένος ἐστὶ τὸ ἐπὶ πολλὰ ἐκτεινόμενον εἴδη· ἢ ᾧ πολλὰ ὑποπίπτει εἴδη. οἷον εἰ δένδρον εἴπῃς, καὶ δρῦν, καὶ πλάτανον, καὶ ἐλαίαν συμπεριείληφας. εἰ δὲ ἐπιστήμην φαίης, καὶ γεωμετρίαν, καὶ ἀστρονομίαν, φυσικήν τε, καὶ μεταφυσικὴν ἐδήλωσας. καὶ τἄλλα ὡσαύτως. Ἔστι δ' ὁ τόπος εἰς ἀνασκευὴν καὶ κατασκευὴν χρήσιμος. ἀναιρουμένου γὰρ τοῦ γένους, συναναιρεῖται καὶ τὰ ὑπ' αὐτὸ πάντα. κατασκευαζομένου δὲ, κἀκεῖνα

συγκα-

συγκατασκευάζονται. οἷον ἀποδειχθέντος ὅτι ἡ ἀρετὴ αἱρετὸν, καὶ σωφροσύνη καὶ δικαιοσύνη ἀρεταὶ οὖσαι, αἱρεταὶ ἀποδειχθήσονται. ἐπὶ δὲ τοῦ προκειμένου ἐπιχειρεῖν ἐνδέχεται οὕτω. Πᾶσα μὲν ἐπιστήμη λογικαῖς οὖσιν ἀνθρώποις, οὐχ ὅπως καθ' ἕνα, ἀλλὰ καὶ πόλει, καὶ γένει ξύμπαντι λυσιτελέστατος. ἀληθείας γὰρ ἐστὶ μελέτη, ῥώμη βίου, ψυχῆς κόσμος, καλοκἀγαθίας ἄσκησις. διαφερόντως δὲ τῶν ἄλλων ἀστρολογία, ἐφ' ὅσον καὶ τῶν λοιπῶν ἁπάντων διενήνοχε, τῷ τε τῶν ἀποδείξεων ἀκριβεῖ, καὶ τῷ τοῦ ὑποκειμένου τῷ ὑπερέχοντι. Κατὰ ταῦτα δὲ καὶ ἀνασκευαστέον ἐπειδὰν παρεμπίπτοι :

ΠΕΡΙ ΕΙΔΟΥΣ.

Καὶ περὶ μὲν γένους ἀπόχρη τὰ εἰρημένα. διαλεκτικῶν γὰρ ἐστὶν (ὡς ἔφαμεν) θεωρηκότας τὰ περὶ τόπων ὑποτείνειν ἔρδοντας. Ἐκ δὲ τοῦ προσαγορεύεσθαι εἴωθε, τὰ ὑποπίπτοντα τῷ γένει μόρια. ὅσα γὰρ ἐπί τι γένος ἀνάγεται, ταῦτα καθὸ ἀνάγεται εἴδους ἐπέχουσι λόγον, κἂν γένει τελῶσι τοῖς μετ' αὐτὰ κατὰ πλειόνων τῷ εἴδει κατηγορούμενον. οἷον ἐλαία, εἶδος μὲν τυγχάνει φυτοῦ ὑπ' ἐκείνῳ τελοῦσα. γένος δὲ εἰ τύχῃ κοτίνου, ἀγριελαίου, κολυμβάδος, καὶ τῶν ὁμοίων. ὕτ[illegible] ἐπιστήμη, εἶδος μὲν τῆς ἕξεως, γένος δὲ ἀστρολογίας, γεωμετρίας, καὶ τῶν λοιπῶν. Ἀπὸ γοῦν τῶν εἰδῶν ἐπὶ τὸ γένος ἰοῦσι καταφατικῶς ἐπιχειροῦσι, πάντως ἀληθεύουσιν. οἷον ὀλύμπια νενίκηκεν, ἄρα στεφανίτην ἀγῶνα. εἶδος γὰρ τὰ ὀλύμπια τοῦ ἀγῶνος. ἐπειδὴ καὶ ἴσθμια, καὶ πύθια, ἀγῶνες εἰσὶ στεφανῖται. καὶ οὕτω κἀπὶ τοῦ παρόντος. ἀστρονομία ἐστὶν ἄρα ἐπιστήμη. Ἀποφατικῶς δὲ, εἴ τις ἀπὸ τῶν εἰδῶν ἐπὶ τὸ γένος ἐπιχειρῶν καθολικόν τι συναγαγεῖν πειραθείη, οὐκ ἄν ποτε ἀληθεύσει. οὐ γὰρ ὅτι μὴ ἄνθρωπος, τοῦτο οὐδὲ ζῶον. οὐδ' ὅτι μὴ ἀστρονομία τοῦτο οὐδ' ἐπιστήμη. κατὰ μέρος μέντοι, οἷον οὐκ ἀσχολοῦνται τὰ περὶ τὴν

ἀστρο-

ἀστρονομίαν οἱ τῶν ἰατρῶν παῖδες, ἄρα οὐδὲ πάσης ἐπιστήμην.

Τῆς οὖν ἀστρονομίας γενικῶς λαμβανομένης, εἴδη εἶτ' οὖν μέρη λέγοιτ' ἄν, κοσμογραφία, ἥτις περὶ τὰ καθολικώτερον φέρεται τῶν παντὸς μέρη, ἥ τε τὰς κινήσεις καὶ σχήματα τῶν ἀστέρων θεωροῦσα, τῷ γενικῷ ὀνόματι ἀστρονομία προσαγορευομένη. καὶ πρὸς ταύταις ἡ ἀποτελεσματική. ἧς ἔστι περὶ τὰ γενέθλια καταγίνεται, καὶ γενεθλιαλογικὴ λέγοιτ' ἄν. ἔστι δ' αὖ περὶ τὰς μεταβολὰς τῶν ἀρχόντων, καὶ ἀνδραποδισμοὺς ἐθνῶν, πόλεών τε ἀναστατώσεις, καὶ ὅσα εἰς ἔθνη ὅλα ἀνήκουσι, τοῦτο αὐτὸ ἀποτελεσματικὴ κέκληται. καὶ προσέτι ἡ ἐκ τῶν ἐκλείψεων, ἐπιπολῶν, καὶ καταδύσεων, τῶν ἀστέρων τὰς τοῦ ἀέρος μεταβολὰς σκεπτομένη, καὶ τούτων ὑετοὺς, αὐχμοὺς, πάγους, ἄλλας, καταιγίδας, εὐφορίας καρπῶν καὶ ἀφορίας, τό, τε περὶ τὰς ὥρας ὑγιεινὸν καὶ νοσῶδες, καὶ ἄλλα τοιαῦτα προθεωροῦσα. ἐξ ὧν ἡ ἅμα πάντων, ἡ γοῦν ἐνίων ἐπιχειρημάτων ἐστὶν εὐπορῆσαι τὸ ἐπωφελὲς παριστῶντα τῆς περὶ τὴν ἀστρονομίαν ἀσκήσεως. εἰ γὰρ κοσμογραφία μὲν, καὶ ἔστι περὶ τὰ γενέθλια θεωρία, καὶ τὰ λοιπὰ τῶν ἀποτελεσμάτων, ἥ τε περὶ τὰ οὐράνια σώματα γνῶσις, οὐχ ὅπως ἐπωφελὴς, ἀλλὰ καὶ θεῖον ὄντως, καὶ ἀνθρωπίνης εὐδαιμονίας τὸ ἔσχατον. πῶς ἡ περὶ τῆς ἀστρολογίας σπουδὴ οὐκ ἂν εἴη ἐν βίῳ λυσιτελέστατον;

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΚΑΙ ΙΔΙΟΥ.

Τὴν διαφορὰν καὶ τὸ ἴδιον οἱ Ῥήτορες εἰς ἓν ἄγουσι, καὶ ἀναμὶξ περὶ ἀμφοῖν πραγματεύονται. Ἔστι δὲ διαφορὰ, τὸ ποιοῦν διαφέρειν ἕτερον ἑτέρου. ἧς διττόν ἐστι γένος. τὸ μὲν οὐσιῶδες, ὃ καὶ ἄλλο τι ποιεῖ τῶν λοιπῶν τῶν τῆς συζυγίας, καὶ εἰδοποιὸς κέκληται. οἷον τὸ λογικὸν τῷ ἀνθρώπῳ προσκείμενον, ἄλλο τι τοῦτον ποιεῖ τοῦ βοός. ἕτερον δὲ γένος ἐστὶ κατὰ συμβεβηκὸς, ὅπερ οὐκ ἄλλο τι ποιεῖν

πέφυκεν,

πέφυκεν, ἀλλὰ ἀλλοῖον τὸ ᾧ συμβέβηκεν. οἷον τὸ ἐν Σωκράτει φαλακρὸν, ἀλλοῖον ποιεῖ τὸν Σωκράτην τοῦ Πιτθέως Μελίτου πεπαιδευκότος ὄντος :

Ἴδιον δὲ ἐστὶν, ὅσοι, οἱ περὶ τοὺς φιλοσόφους ἀκριβολογοῦσιν, ᾧ μόνῳ συμβέβηκε τῷ οὗ ἐστὶν ἴδιον, καὶ παντὶ τῷ ἐκείνου εἴδει, καὶ ἀεί. οἷον ἀνθρώπῳ τὸ γελαστικόν. Οἱ δὲ Ῥήτορες τὸ ἴδιον ὡς τὰ πολλὰ καὶ τὰ συμβεβηκότα ἀναμιγνύουσιν. οἷον μητράσι μὲν ἴδιον ὑπολαμβάνοντες τὸ φιλόστοργον, μητρυιαῖς δὲ τὸ ἄστοργον. καὶ πάλιν Ἀθηναίοις μὲν, τὸ ἐν σοφίᾳ φιλοτιμούμενον. Λακεδαιμονίοις δὲ, τὸ ἐν πολέμοις ἀριστεύειν. ἀλλὰ καὶ ἴδιον παντί. οἷον Ἕλλησι μὲν, ἴδιον μόνον εἰς ἅπαξ ἔδοξε. Βαρβάροις δὲ, ἀσωτεῖν, καὶ τὸ τῆς γνώμης ποικίλον. καὶ ἐπὶ τοῦ προκειμένου. φιλολογίας μὲν ἴδιον, ἅτε δὴ καὶ τῶν ἄλλων ὑπερμαχεῖν τῆς ἀγνοίας ἀναισθησίας τῆς διανοίας, ἐξυπνίσαι τε καὶ ἐνεργήσαι παρασκευάζειν περὶ τὴν τοῦ ἀληθοῦς ἔρευναν. ἴδια δὲ τὰ περὶ τοιαῦτα οἷα εἰσὶ τὰ ὑπάρχοντα σώματα. καὶ τοιοῦτος καθ' ἓν δηλαδὴ λόγον ταῦτα διασαφηνίζεται. ἐντεῦθεν οὖν εὐδήλως ἐπιχειρητέον :

Εἰ μέγα μὲν τὸ ἐξυδριχὸν καὶ ἀξίωμα περὶ τὴν τῆς ἀληθοῦς εὕρεσιν, καὶ πᾶσιν ἀνθρώποις πέφυκε προπαιδεύσαι, οὐχ ὅπως ἔτι ἀπείρως περὶ τῆς ὄντως θεωρίας παρασκευάζει τὰ ἔχοντα, ἀλλὰ καὶ πάσαις ἐκείνων ὀρέξεις τε καὶ ἐνεργείας διαδιδωσί τε, καὶ κόσμον αὐτοῖς ἐμποιεῖ τῆς προσήκοντα. πῶς οὐκ ἂν περιλάβοιτο ἂν ἐπιστήμας, καὶ τοῖς τῶν ἀνθρώπων βίον λυσιτελέστατον, δι' ὧν τοῦτο τοῖς ἀνθρώποις φύσιν ἔχει πορίζεσθαι; εἰ δὲ ἔτι ταῖς ἄλλαις ἐπιστήμαις προσήκει, πολλῷ μᾶλλον φιλολογίᾳ, ἣ τὸ ὀξὺ καὶ ἀδιαώπητον περὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν ἐν τοῖς θεωρήμασι τῶν ὄντων πορίζεται, καὶ ἐναργεστέρας τὰς ἀποδείξεις;

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΑΙΤΙΩΝ.

Αἰτία δέ ἐστι δι' ἣν πρός τινι τὸ δεῖ πιθανευόμενοι ἀπαντῶμεν. εἰσὶ δὲ τῶν αἰτίων γένη τέτταρα. τὸ τελικὸν δηλαδή. τὸ ποιητικόν. ὑλικόν τε πρὸς τούτοις. καὶ εἰδικόν. ὧν τὸ μὲν τελικὸν αἴτιόν ἐστιν οὗ ἕνεκα τἄλλα γίνεται. οἷον τοῦ ὑγιαίνειν ἕνεκα, τὸ γυμνάζεσθαι. καὶ τῆς μαθήσεως, ἡ περὶ τὴν χαλινοῦ ἄσκησις. καὶ ἡ τῶν χρημάτων ἀπορία, τῆς ἐμπορίας ἐστὶ τέλος. καὶ τὰ ὅμοια: Τῆς ἀστρολογίας, ὥσπερ μὲν καθαροῦ ἐστι, θεωρητικὸν τέλος ἔχουσαν, ἅτε δὴ καὶ πᾶσα ἐπιστήμη τῆς τοῦ ἰδίου ἀπολαυομένου θεωρίαν, ἐφ' ἐστιν ἡ τῶν θείων σωμάτων ποικιλία τε καὶ τὰ θεάματα. ἔστιν δὲ ἀποτελεσματικὸν πρὸς τῆς θεωρίας καὶ τὴν πρόγνωσιν τῶν καθ' ἡμᾶς συμβαινόντων, καὶ τῆς ἐκείνων φορᾶς τε καὶ ἀποῤῥοίας ἑαυτῆς τέλος ποιεῖται. Ὅθεν καὶ ἐπιχειρῶν ἐστὶν οὕτω πως. Ὅτι μὲν οὖν ἡ περὶ τὴν τῶν θείων σωμάτων ποικιλίαν καὶ κάλλος θεωρία τῶν ἀρετῶν ἐστί τε, καὶ μέγα εἰς εὐδαιμονίαν ἀνθρώποις συμβαλλομένη, οὐδεὶς νοῦν ἔχων ἀμφισβητήσειεν. ἡ δὲ τῶν μελλόντων πρόγνωσις, ἀτεχνῶς δαιμόνιόν τι χρῆμα, καὶ τῆς θείας μοίρας πέφυκε κατάστημα. ἀλλ' εἰ τοῦτο οὕτως ἔχον ἐστὶ καὶ παρὰ πᾶσιν ὁμολογούμενον, πάντως ἂν τιμηθείη ἀστρολογία, δι' ἣν τοῦτο τοῖς ἀνθρώποις περιγίνεται.

Περὶ τοῦ τελικοῦ αἰτίου.

Ποιητικὸν δὲ αἴτιον, ἀφ' οὗ τι εἰς ὕπαρξιν πρόεισιν. οἷον τὸ κεχρημένον ἐκ τοῦ κεραμέως, καὶ πρὸς τοῦ ἡλίου τὸ φῶς. Ἐπιστήμης δὲ οἷα δὴ καὶ τεχνῶν ἁπασῶν ποιητικόν ἐστιν αἴτιον, τὸ τοῦ νοὸς ἐξυδερκές τε καὶ γόνιμον διὰ τῆς συνεχοῦς ἐνεργείας. Ποιηταὶ δὲ πολλάκις καὶ Ῥήτορες τὰς τῶν ἐπιστημῶν γενέσεις εἰς Θεὸν ἀναφέρουσι, καὶ οὕτω μὲν κομψευόμενοι, ῥᾷστα πολλῶν καὶ καλῶν ἐπιχειρημάτων ἐκ τοῦ ποιητικοῦ εὐποροῦσιν αἰτίου ἐπὶ τῆς ἀστρολογίας. ἂν δὲ τὰ κομψὰ ταῦτα τοῖς ποιητικευομένοις δόξῃ περιεργότερα, ἐκ τοῦ ὑπερέχοντος τοῦ νοὸς ληπτέον τὸ ἐπιχείρημα. οἷον. Νοῦς

Περὶ τοῦ ποιητικοῦ αἰτίου.

μὲν

μὲν ἁπάντων τοῖς ἐν ἀνθρώποις τὸ κάλλιστον ὄντως καὶ τιμιώτατον, καὶ μόνος φέρων εὐλήχως τῆς τοῦ θείου ἐπωνυμίας, ὡς μόνος ἂν χάριν ὑπάρχων, τῶν ἄλλων ἁπάντων διαφέρων ὄντων, ὅσα τῇ λογικῇ φύσει παρὰ τοῦ δημιουργήσαντος κεχάρισται. εἰ δὲ νοῦς τοιοῦτος, τίς οὕτω σκαιὸς καὶ τὴν διάνοιαν ἀμβλυωπῶν, ὅς τις οὐχ ὁρᾷ ὅτι πᾶσα μὲν ἐπιστήμη, μάλιστα ἀφραλογία, γνῶσιν ὅσα τοὺς ὑπομνήμασιν ἐπισκοπῶν ἂν ἐπιβάλλοι τοὺς ἀνθρώπους γενέσθαι κρείττω καθίστησι· ὥσπερ γὰρ γεννώμενον ἕκαστον μετρεῖσθαι πέφυκε κατὰ τὴν τοῦ ποιητικοῦ αἰτίου τελειότητα. πᾶν γὰρ τὸ ἐνεργοῦν ἐξομοιοῦν ἑαυτῷ σπεύδει τὸ πάσχον κατὰ τὴν ἐνοῦσαν δύναμιν:

Περὶ ὑλικοῦ αἰτίου.

Ὕλη δέ ἐστιν, ἐξ ἧς τι πέφυκε γίνεσθαι· οἷον ἐκ τοῦ πηλοῦ τὸ κεράμιον, καὶ ὁ ἀνδριὰς εἰ τύχοι ἐκ τοῦ χαλκοῦ. ὅθεν ἡ τῶν ἐπιχειρημάτων λῆψις ἐπὶ καπίδυλας. οἷον γὰρ ὁ μὲν τῶν Ῥοδίων Κολοσσὸς ἐκ χαλκοῦ, ὁ δὲ τῶν Αἰγυπτίων Ἄνουβις ἐκ χρυσοῦ, σεμνοπρεπέστερος πάντως τοῦ τῶν Ῥοδίων Ἄνουβις. οὐκ ἐπὶ πάντων ἀληθεύειν μέντοι τὸ ἐξ ὕλης ἐπιχείρημα, ἐν τοῖς κρείττοσι δηλαδὴ λαμβανόμενον. ἐπεὶ ὅτε γὰρ τὸ ἐκ χείρονος ὕλης διὰ τὸ ὑπερβάλλον τῆς τέχνης, ἢ διὰ τὸ χρόνου μακρὸν, ἢ γοῦν τὴν μεγάλην τῆς ποσότητος ὑπεροχὴν, αἱρετώτερα εἰσὶ τῶν ἐκ τῆς ὕλης πολυτελῶν: Τῆς μὲν ἀφραλογίας ὕλη διττή. ἥ τε ἐκτὸς δηλαδὴ περὶ ἣν φράζεται, καὶ ὡς ἐπὶ θεωρητικῶν καὶ ἡ ἐντός, ἐφ' ἧς ἵδρυται, καὶ ἐν ᾗ τινας μορφοῖ τε καὶ διαπλάττει, ἥτις ἐστὶ τὸ λογικὸν τῆς ψυχῆς μέρος. ὃ καὶ κρεῖττον ὂν τῶν λοιπῶν, τήν τε ἰδίαν καὶ τὴν ἐνέργειαν, καὶ τῇ τιμιότητι, καὶ τὴν ἐν αὐτῷ ἕξιν, ἐν μετρίαις χαρίζεται τὴν ὑπεροχήν:

Περὶ τοῦ εἰδικοῦ αἰτίου.

Εἰδικὸν δὲ αἴτιον, εἰ μὲν περὶ φιλοσόφοις, τὸ οὐσιῶδες καὶ μόνον ἔνυλον εἶδος. ὅπερ τῇ ὕλῃ συμφυὲς, τῆς τοῦ συνθέτου οὐσίας συμπληροῖ· οἷον τὸ τοῦ ἀνθρώπου εἶδος, τὸ Σωκράτους φέρε εἰπεῖν μορφοῦσαν ὕλην, τὸ ἀνθρώπους εἶναι δοκεῖν χαρίζεται. Ῥήτορες δὲ καὶ τὰ συμβεβηκότα πολλά-

κις

[illegible] τοῦτο καὶ τὰς μορφὰς οὐκ [illegible] καλῶν. οὕτως [illegible] λέγοντες τῆς τοῦ ἀνδριάντος μορφῆς. Ἐπὶ γοῦν τοῦ προκειμένου [illegible] ὁ ποιητὴς, καθ' ἣν μορφοῦται πῶς ὁ [illegible], καὶ πρὸς τῆς τοῦ ἀληθοῦς φαντασίας [illegible] καθίστανται τὸ δὲ διὰ τοῦ ἐπιχειρήματος [illegible]. Εἰ μὲν τῶν ἀιδίων ἀξίαν, οὐχ ὅπως [illegible], ἀλλὰ καὶ τὸ κατ' αὐτὴν [illegible] μακαρίζεσθαι, καὶ ταύτῃ [illegible] μάλιστα χαίρομεν, πῶς οὐκ ἂν [illegible] καὶ ὅλῃ ψυχῇ [illegible] τὴν ἀξίαν [illegible], τοσοῦτον τῶν ἀιδίων [illegible], ὅσον καὶ ψυχὴ σώματος.

ΠΕΡΙ ΤΟΥ ΑΠΟ ΤΩΝ ἐναντίων τόπου.

Τὰς [illegible] καὶ τὸ [illegible] [illegible] οὐκ [illegible] ὅπως πολλῶν καὶ [illegible] ἐπιχειρημάτων [illegible], καὶ μάλιστα [illegible] τῆς Ῥητορικῆς [illegible] (ὡς [illegible] τῆς φιλοσοφίας) [illegible] Ῥήτορας [illegible] συλλογισμοὺς [illegible] γὰρ [illegible] τῶν ἀπὸ συλλογισμῶν [illegible] καὶ [illegible] Ῥητορικῇ μᾶλλον [illegible] τῇ διὰ τῶν [illegible] καὶ [illegible] Εἰσὶ [illegible] ἀναγκαίας, ἀλλ' [illegible] ἔστι δὲ [illegible] ἐκ τῶν ἀντικειμένων λαμβάνουσι σημεῖον. [illegible] καὶ [illegible] καὶ [illegible] ἡμέρα, ἄρα καὶ [illegible] γῆν. [illegible] ὧν [illegible] ἀμφοτέρωθεν ὁ συλλογισμὸς [illegible] τι τὸ ἀντίον δηλο[illegible] καὶ τοῦ [illegible]. Τῶν δὲ μὲν ἀντικειμένων [illegible] γένος [illegible] τὸ ἀντικείμενον [illegible] γὰρ ὁ [illegible]. ὁ μὲν καὶ [illegible]

γῶν

γαῖν ἐπὶ τὸ τοιοῦτον ἐνδέχεται γὰρ καὶ διὰ φύσιν, ὃ οὕτω ὂν ἄλλως πως ἐνδέχεσθαι. ἐπὶ οὖν τούτων ὁ τῆς δόξης μᾶλλον ἀληθέστερος συλλογισμός. ἤπερ ὁ διὰ τῆς αἰτίας. Τὰ γὰρ ἐναντία εἰσὶ τῶν αἰτιατῶν. ὡς ὁ τοιοῦτος γνωσθεὶς, ἀνδρὶ πεπαιδευμένῳ ἔοικεν. ἡ μὲν ὁ πιθανολογικὸς ὅλως καὶ τόποις. καὶ τοιοῦτος ὁ μὲν τῆς δόξης συλλογισμὸς ὁ διὰ τῶν ἐνεργειῶν δεικνύμενος, μᾶλλον ἀληθὴς ὁ δὲ τῆς δόξης, ὅτι ὁ διὰ τῆς αἰτίας, ἵνα ἐνδέχεται ὁ τόπος εἰς τὰ πολλὰ ὁ ἀνθρώπους τῆς ἀπὸ τῆς τέχνης, αὐτῷ φιλοσόφως τὸ κατὰ αὐτὸ τῆς φιλοσοφίας λεγόμενον ἀξίωμα. ἕκαστον γὰρ τῆς ἰδίας ἐνεργείας ἕνεκεν ἐστί. μάλιστα μάρτυς τοῦτο σαφὴς διὰ τῶν τῆς ψυχῆς δυνάμεών τε καὶ ἕξεων. οἷα δεῖ καὶ ὁ περὶ [illegible] εἰς [illegible] φιλολογία. ἐφ᾽ ὃ τελευτᾷ ἐστὶ καλλιστεύων ἐπιχείρημα. Εἰ γὰρ τοιαύτης ἀνάγκης οὔσης ἐστὶ τῆς δυνάμεως, οἷα εἰσὶ καὶ τὰ περὶ τόπον ἐπιστήμη, ὡς ὁ τῆς φιλοσοφίας βούλεται λόγος, καὶ ἡ φύσις συνεργεῖ τῇ ἀνθρωπίνῃ τέχνῃ ἐπιτηδεύεσθαι, πῶς ὁ φιλολογία ἡ λογικὴ τὸ ἐπιμελεῖσθαι τῶν ἀνθρώπων προσήκουσα; ἀλλὰ ταύτῃ γὰρ καὶ στρατηγὸς ἄριστα τὰ εἰς στρατηγίαν ἀνήκοντα δύναται, καὶ γεωργὸς ὁ ἐν γεωργίᾳ ἐμπειρότατος, καὶ πάντες τὰ εἰς [illegible] ἐπιτήδεια. ἀλλὰ καὶ ὁ ἀκριβὴς τῆς [illegible] καὶ [illegible] [illegible] γνώσεως, διὰ ταύτης ἀφορμῇ· καὶ [illegible] ὧν ἐκ τῆς ἀνθρώπων βίος ταύτῃ διαδέχεται καὶ διαλέγεται, οἱ μὲν μᾶλλον μετρίως διαφέροντες τοῖς καθ᾽ ἡμέραν διαφόροις ἐπιτηδεύμασι καὶ ἐπιχειρήμασι.

ΠΕΡΙ ΤΟΠΟΥ ΚΑΙ ΧΡΟΝΟΥ
καὶ κενοῦ.

Ἀπὸ τοῦ χρόνου.

Οὐ τῆς πρώτης ἐχούσης εἰς τοιαῦτα διαιρεθέντα ὑπὸ τῆς φυσικῆς ἐπιστήμης ἐπιχειρήματα. τοῦ τόπου, χρόνου, καὶ τοῦ κενοῦ. Καὶ ἐπεὶ μὲν τὸν χρόνον διαλαμβάνουσι περὶ πρώτου τῶν Ὀλυμπια-

κἂν πολλοστὸς ἀγωνίζηται· ἔνθα βουλόμενος παρορμῆσαι τοὺς Ἀθηναίους πόλεμον ἐπαναγκάζειν ὑπὲρ Ὀλυνθίων πρὸς Φίλιππον, φησίν. Ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιείς. (Καὶ παραδειγματικῶς) Νῦν ὁ καιρὸς ἥκει, τίς οὗτος; ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει. καὶ πάλιν. Χρὴ ὦ ἄνδρες Ἀθηναῖοι τῆς Φιλίππου ἀκαιρίας, καιρὸν ἡμέτερον νομίσαντας, ἑτοίμως συνάρασθαι τοῖς πράγμασι.

Ἀπὸ τῶ τόπου.

Ἀπὸ δὲ τοῦ τόπου δεῖξαι βουλόμενος τὸ ποτὲ δέον ἐστὶ Ἀθηναίους συμπλέξαι πρὸς Φίλιππον τὰς χώρας ἔχειν μάχοντας, ἢ τῇ χώρᾳ πρὸς ἐκεῖνον καταβάντας, φησὶν ἐν τῷ αὐτῷ· Ἀλλὰ γὰρ ἡλίκα ἐστὶ τὰ διάφορα ἐνθάδ᾽ ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειε καὶ τὰ ὄξεα καὶ ἄλλο. Εἴ τε γὰρ ἡμᾶς θέλει τινὰ ἐκείνου κακῶς ποιοῦντων Ὀλυνθίων παρασκευῆ, βέλτιον ὅτι τῆς ἐκείνου ἀλλ᾽ οὐκ ἀμυνοῦνται. ἤ τε βοηθησάντων μόνον καὶ τὰ ὄξεα.

Ἀπὸ τῶ προσώπου.

Τῶν δὲ ἀπὸ τῶν προσώπων λαμβανομένων τὰ ἐπιχειρήματα, δεῖ τὸν φυλάττειν. καὶ πατρίδα τούτων ἀναγράφοντα, πατέρας τε, καὶ προγόνους, ἔτι δὲ καὶ παιδείαν αὐτῶν, ἔθη τε καὶ ἡλικίαν. καὶ τὰ σώματος αὐτῶν ἐπιφαινόμενα σημεῖα, ὀξύτητα δηλαδὴ ῥινός. καὶ μυκτήρων εὐρύτητα. ὀφθαλμῶν καὶ ἐρυθρότητα. λευκότητα, μελανότητα. καὶ τὰ παραπλήσια τούτοις ὁπόσα. ἐκ γὰρ τούτων σχεδὸν ἁπάντων ἀναιρεῖσθαι ἐστὶν ἐκ τῶν προσώπων ἐπιχειρημάτων. Παραδείγμασι δὲ τούτων καὶ παρ᾽ ἄλλοις ἐντύχοις ἂν μάλα συχνοῖς, μάλιστα δὲ παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφάνου, καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. ἐν ᾧ Δημοσθένους κατηγορῶν πατρίδα τε καὶ ἔθη καὶ προγόνους, καὶ τὰ παραπλήσια ἐκείνου πολυπραγμονῶν, στηρίζεται τὰ κατ᾽ αὐτοῦ τούτων ἐπιχειρήματα.

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΤΟΠΩΝ, ΠΕΡΙ
Ἴσου Μείζονος καὶ Ἐλάττονος.

Ἴσον, μεῖζον, καὶ ἔλαττον, ἰδιαίτατα μὲν ἐπὶ τῆς ποσότητος λέγονται· πολλάκις μέντοι καὶ ἐπὶ τῆς ποιότητος μεταφέρονται. οὐ μέντοι κυρίως ἐπ' ἐκείνης εἰσὶ λεγόμενα. Ἔστι δὲ ἴσον, τὸ ἐπίσης ἅμα ἑτέρῳ τινὶ μεταλαμβάνον τῆς ποσότητος. μεῖζον δὲ καὶ ἔλαττον, ἀνθόμοια τούτῳ οἰκεῖον ἐπὶ θάτερον. τὸ μὲν ὑπερβαῖνον τὸ ἴσον· τὸ δὲ ἐντὸς τούτου πίπτον. Εἴρηνται δὲ οἱ τόποι κοινοί, ὅτι πᾶσιν ἐφαρμόζουσι τοῖς λόγοις. καὶ ἐπὶ μὲν τοῦ ἴσου τοιαῦτα ἐργάζονται τὰ ἐπιχειρήματα. Ἐκ δὲ τοῦ πράγματος αὐτοῦ· Ἦν γὰρ Θεμιστοκλῆς ἐν Σαλαμῖνι κατὰ βαρβάρων, τοιοῦτος Μιλτιάδης πρότερον κατὰ τῶν αὐτῶν ἤρατο νίκην. Ἀπὸ δὲ τοῦ προσώπου· Ὥσπερ μὲν Ἀθηναῖοι Δημοσθένην τὸν Ῥήτορα χρυσῷ στεφάνῳ δημοσίᾳ ἐτίμησαν, οὕτω καὶ αὐτοὶ Ῥωμαῖοι θαυμάζουσι δεῖν τὸν Κικέρωνα. Ἀπὸ δὲ τοῦ χρόνου αὐτοῦ· νεώτερον μὲν καὶ ὁ Δαβὶδ ἔτι τὸν παιδίθμιον καλέσαντος κάτοικον. ἀλλ' οὐδεὶς διὰ τοῦτο τὸν Δάβιδα ἐν ἀρετῇ ἔκρινε. τί οὖν θαυμάζεις εἰ καὶ ὁ Διονύσιος τοῦτο ἐπολέμησε; Ἀπὸ δὲ τοῦ τόπου· Εἰ δὲ ἀνδρικὸν ἦν τοῦτο ἔργον ἐντὸς τῶν τειχῶν μένοντας ὑπὸ τῶν ἐπιλέκτων τοὺς πολεμίους ἀμύνασθαι, ὁρᾷ λοιπὸν καὶ τοὺς ὑπαίθρους ἀρίστους νομίζειν ἥρωας, ἐξ ἀφανοῦς τὰ χωρία πλήττοντας: Τὰ πολλὰ μέντοι τὰ ἐκ τοῦ ἴσου ἐπιχειρήματα, τοῖς ἀπὸ τοῦ ὁμοίου εἰσὶ τὰ αὐτά. τὸ γὰρ ἴσον (ὡς εἴρηται) καὶ ἀντὶ τοῦ ὁμοίου ἐπὶ τοῦ ποιότητος αὐτοῖς τοῖς Ῥήτορσι λαμβάνεται, καὶ ἐναλλάξ. Ἐπὶ δὲ τοῦ ἐλάττονος τοιούτοις χρῆσθαι δυνατὸν τοῖς ἐπιχειρήμασιν. ἐπὶ μὲν τοῦ πράγματος φέρ' εἰπεῖν. Εἰ μὲν τοὺς χρήματα ζημιώσαντας κολάζομεν, πῶς ἂν τοὺς πολυμάλλον τοὺς εἰς αὐτὸ τὸ σῶμα ἐπαλγήσαντας; Ἀπὸ δὲ τοῦ προσώπου· Εἰ μὲν ταῦτα παρ' ἐλευθέρων ἀδίκως ἀπηχθόμεθα, πολλῷ γε ἂν αὐτοὶ δούλων ἥσσωμεν. οὐ ὅπως. Εἰ μὲν καὶ

τοὺς

τοῦ πολέμου ἐπιχειρεῖν ἀδικεῖν δεινὸν, χαλεπώτερον πάντως τοὺς ἰδίους ἀδικοῦντας. (Ἀπὸ δὲ τοῦ καιροῦ.) Εἰ γὰρ ἐν ἄλλῳ τινὶ καιρῷ ὑβρίζειν οὐκ ἀνεκτὸν ὑπολαμβάνεται, πολλῷ μᾶλλον ἐν Διονυσίοις. (Καὶ ἀπὸ τοῦ τόπου.) Δεινὸν μὲν οὖν εἰ καὶ ἐν βαλανείῳ τύπτει τὸ πρᾶγμα ἐπιφανέστατον, ἢ κατ' ἰδίαν, ἀλλὰ χαλεπώτερον δὲ τοῦ ὅλου ἐν ἱερῷ καὶ ἐν θεάτρῳ. (Ἀπὸ δὲ τοῦ προσώπου.) Εἰ μὲν οὖν καὶ τὸν ἁπλῶς ὑβρίσαι δεινὸν, πῶς οὐ χαλεπώτερον καὶ ἀρχὰς ἐπιδέρειν, καὶ τὴν ἱερὰν περιῤῥῆξαι ἐσθῆτα; (Ἔτι δὲ τῆς αἰτίας.) Οἱ μὲν ἀμελέστερον προσάγοντες καλῶς ποιοῦντες, εἴπερ ἔδοξεν μὴ ἐξεῖναι τοῖς καὶ δεινόν τι παθοῦσι τῆς πανηγύρεως ὑβρίζειν, ἀλλ' ἐπὶ τοὺς προκαλουμένους τὴν δίκην τὸ τολμηθὲν ἀναφέρειν, καὶ παρ' ἐκείνων τὴν ψῆφον παραλαβεῖν. ὁ δὲ καὶ μάλιστά τι δεινὸν πεπονθὼς τῷ τοῦ χρόνου ἐν τῇ ἑορτῇ ἐνδεικνύμενος, τὴν προφάσεως αἰτίας πεποίηται. Τῷ αὐτῷ δὲ λόγῳ καὶ τὰ ἀπὸ τοῦ μείζονος ἐργάσῃ ἐπιχειρήματα.

ΠΕΡΙ ΟΜΟΙΟΥ ΚΑΙ ΑΝΟΜΟΙΟΥ.

Τό τε ὅμοιον καὶ ἀνόμοιον καθ' αὐτὰ τῆς ποιότητός εἰσιν ἴδια. γίγνεται δ' ἄμφω πρὸς ἕτερα λεγόμενα, ὥστε δὲ καὶ ἐπὶ τῆς ποσότητος τὸ ἴσον μεῖζον καὶ ἔλαττον. ὅμοια δ' οὖν ἐκεῖνά ἐστιν, ἃ κοινωνίαν τινὰ ποιότητος εἴληχεν, ἢ ἀναλογίαν πρὸς ἄλληλα. ἀνόμοια δὲ, τὰ μὴ κατὰ τὸ αὐτὸ κοινωνοῦντα λέγεται. οἷον ὅμοιον μὲν ψιμμύθιον ἢ χιὼν, ἀμφότερα γὰρ λευκά. οὐ γὰρ μὴν θάτερον διακριτικὸν ὄψεως, καὶ θάτερον. καὶ πάλιν. ὅμοιον μὲν τῇ ὑγιείᾳ παιδεία. καθάπερ γὰρ φυλακτικὸν σώματος ἡ ὑγιεία, οὕτω τῆς ψυχῆς φυλακτικὸν πέφυκεν ἡ παιδεία. ἢ οὕτως. ὥσπερ ἐν στρατοπέδῳ ὁ στρατηγὸς, οὕτως ἐν βίῳ παιδεία. οὔτε οὖν ἄνευ στρατηγοῦ ἐν στρατοπέδῳ ἐστὶν εὐταξία, οὔτε παιδείας ἄνευ ἐν βίῳ ἐστὶ κοσμιότης. Ἐπὶ δὲ τοῦ ἀνομοίου οὕτως. Οὐ ταὐτὸν ἐστὶ

περὶ θεοῦ νόησιν, καὶ περὶ τῆς αἰσθήσεως πρὸς διαλέξεως. ἐκεῖνα μὲν γὰρ τῆς ἀϊδίου μεταλαμβάνει ζωῆς, παρ' ὧν καὶ πέφυκε κινεῖσθαι. τὸ δὲ θεῖον ἐστὶν ἐπὶ ὑλικῶν τόπων ἀνίδρυτον, ποιότητος ἄνευ τὸ ἀγνωστικὸν ὑπερβεβηκόν. οὔτε σαρκὶ ὂν ψαυστόν, οὔτε ἀκοῇ ἀκουστόν, οὔτε ὀφθαλμοῖς ὁρατόν, οὔτε φωνῇ ῥητόν. διὸ οὐδὲ παντὸς τὸ περὶ θεοῦ φιλοσοφεῖν, ἀλλὰ μόνοις τοῖς ἐν θεωρίᾳ διαβεβηκόσι, καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένοις. καὶ τούτοις οὐκ ἐπὶ τῆς καθ' αὐτὸ τὸ θεῖον κατιδεῖν, ἀλλὰ τῶν περὶ αὐτό, ἃ φησὶν ὁ Θεολόγος φωνή. καὶ ὥσπερ Ἀνθρώπου μὲν εἰ καὶ μὴ κατὰ πάντα ποίμνης ἄρχειν καὶ ἐπιστατεῖν ψυχαῖς. διὸ τὸ τοῦ Θεολόγου ἐν τῇ ἀπολογίᾳ.
" Οὐκ ἐμοὶ μὲν ἴσον ἐστὶ, οὐδὲ τῶν ἐσχάτων, ποίμνης ἄρχειν καὶ ἀνθρώπων
" ἐπιστατεῖν ψυχαῖς, καὶ τὰ ὅμοια.

ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΚΕΙΜΕΝΩΝ.

Τετραμερῆ δὲ τῶν ἀντικειμένων διανομὴν οἱ περὶ φιλοσόφους ἀξιοῦσι γίγνεσθαι. ἢ γὰρ κατάφασις καὶ ἀπόφασις ἀντίκεινται. οἷον, ὑγιαίνει, οὐχ ὑγιαίνει· ἢ ἐνεργεῖ, ἢ οὐκ ἐνεργεῖ· ἢ ἐναντιότητος ἀντίκεινται· οἷον, χρηστός, ὁ φαῦλος. ἢ καθ' ἕξιν καὶ στέρησιν· ὡς ὄψις, τυφλότης· ἀπουσία, παρουσία. ἢ ὡς τὰ πρός τι· οἷον ἄρχων, ἀρχόμενος· διδάσκαλος, διδασκόμενος· πατήρ, υἱός. Ἐπὶ τούτων οὖν ἁπάντων τὸν ἐπιχειροῦντα θατέρου τῶν ἀντικειμένων ὁμολογουμένου, ἢ ἀποτιθεμένου, ἐπὶ θάτερον τῶν ἀντικειμένων ὑποσυνάγειν τὸ ἀντικείμενον. οἷον φέρε εἰπεῖν. Ἐπὶ τῶν κατὰ ἀπόφασιν καὶ κατάφασιν λεγομένων. εἰ τὸ ἥδεσθαι ἐστὶν εὐδαιμονεῖν, τὸ μὴ ἥδεσθαι οὐκ ἔστιν εὐδαιμονία. ἢ οὕτως, ὃ καὶ μᾶλλον ἐστὶν ἀληθέστερον, εἰ τὸ εὐδαιμονεῖν ἐστὶν ἐνέργεια τέλειος, ὁ μὴ εὐδαιμονῶν τέλειος οὐκ ἐνεργεῖ. Ἐπὶ δὲ τῶν ἐναντίων οὕτως. εἰ τοὺς χρηστοὺς ἀσπάζεσθαι φιλεῖν, μισεῖν ἔσται τοὺς φαύλους· καὶ εἰ τοὺς καλῶς δρῶντας ἀμείβεσθαι, τοὺς εὐερ-

γετοῦντας

γενόμενος ἀντιλεγόντων ἀφείλομεν. Καὶ δεῖ τῶν κατ' εἰρημένων. Εἰ μὲν ὁ πολίτης λύπας ὑπομένει, καὶ ὁ ἄρχων ἀδεῶς ἐστι τῆς ἀφίξεως. καὶ ὥσπερ ἡ τοῦ στρατηγοῦ παρουσία ἀταξίας ἐμποιεῖ τοῖς στρατευομένοις, οὕτως ἡ ἀπουσία τῆς ἐκείνου ἀταξίας αἰτία καθίσταται. Ἐπεὶ δὲ τῶν πρός τι ὄντων. καθάπερ τῷ ἄρχοντι τὸ ποιεῖν προσήκειν ἡγούμεθα, οὕτω καὶ τῷ ἀρχομένῳ παρ' ἐκείνου τὸ πάσχειν. καὶ εἰ τῷ διδάσκοντι λέγειν προσήκει, καὶ τοῖς διδασκομένοις ἔοικε τὸ διὰ σιγῆς ἀκροᾶσθαι.

ΠΕΡΙ ΑΞΙΩΣΕΩΣ ΕΙΤΟΥΝ Μαρτυρίας.

Ἡ ἀξίωσις (ἣν καὶ κεκριμένην ὀνομάζει ὁ Ἀριστοτέλης πολλαχοῦ καλῶν) δόξα ἐστίν, ἤτοι ὑπόληψίς τινος ἢ πολλῶν περί τινος ἔχειν οὕτως, ἢ μὴ ἔχειν. Ἔστι δὲ προσχαρεστία μᾶλλον, ἢ μᾶλλον κοινή. καὶ ἡ γνώμη ἡ τῶν σοφωτέρων καὶ δοκιμωτέρων, καὶ τούτων ἢ πάντων, ἢ τῶν πλείστων, ἢ τῶν γνωριμωτάτων, καὶ δόξαν φερόντων περὶ ἃ ἡ ἀμφισβήτησις προσβάλλεται. προσβάλλεται δὲ πρός τινα τὰ μάλιστα καὶ ἡ τῶν ἀνταγωνιστῶν δόξα, ἢ τῶν ὑπολυχομένων ἐκείνοις, ἐπειδὰν δηλαδὴ τοιαῦτα δοξάζοντας δείξωμεν τοὺς ἀνταγωνιζομένους, οἷα ἡμεῖς φαμέν. ἢ τοὺς παρ' ἐκείνοις μέγα εὐληχότας ὄνομα. ἔστι γὰρ ὥσπερ μάρτυρας αὐτοὺς τῶν λεγομένων ἐπάγειν. τὰ δὲ ἀπ' αὐτῶν ἐπιχειρήματα, τοιαῦτα. Καὶ οὐχ ἡμεῖς μισοῦμεν μόνοι καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθρούς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι τοὺς ἐχθροὺς τιμωρεῖσθαι. καὶ οὕτως. Οὐ μόνον οἱ Ἕλληνες τοὺς νεωτερίζοντας ἐν τῇ Ἑλλάδι μισοῦσιν, ἀλλὰ καὶ τὰ λοιπὰ ἔθνη, ὅσα τῶν χριστιανῶν πρεσβεύουσι θρησκείαν. καὶ τὸ τοῦ Θεοφυλάκτου, ὅτι τὸ θάνατον, τέλος μᾶλλον, ἢ αἰτία ἐστὶ τῶν ἀνιαρῶν. οὐ γὰρ προσάγει φησὶν ὁ δημιουργὸς ἐπὶ τὸ χεῖρον τὰ δημιουργήματα. εἰ γοῦν τὸ θάνατον ὑπὸ τοῦ δημιουργοῦ κέκριται, ἵνα ἔστη ὑπὸ τοῦ χείρονος εἰς τὸ χεῖρον διάλυσις. ἀλλ'

ὑπὸ τοῦ χείρονος εἰς τὸ κρεῖττον μετάγουσιν. Εὑρήσομεν δὲ τῶν ἀξιώσεων, καὶ ἐξ ὧν οἱ πάλαι φιλόσοφοι συγκεχρῆσθαι, καὶ ἀπὸ τῆς καθ' ἡμέραν ὑπολήψεως, καὶ τούτων οὐ μόνον, τῶν γνωριμωτέρων καὶ φανερωτέρων:

ΠΕΡΙ ΤΩΝ ΤΕΛΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ.

Ἐξεθέμεθα τοίνυν ἕως δεῦρο μέχρι τοῦ δέοντος ἀποτέρω ἀπαριθμησάμενοι ἡμῖν τόποις, καὶ οὐ παρ' ἐκείνων λεχθέντα τὰ προκεχειρισμένα, ἀλλὰ δὲ καὶ ὑπεχόντας εὑρῆσθαι, τήν γε συντελουμένην τοῦ συγγράμματος, καὶ πρὸς ἀκροατὰς φιλοπονοῦντ' μὴ κατοκνοῦντας. Ἐχόμενον δ' ἂν εἴποιμεν καὶ περὶ τῶν τελικῶν κεφαλαίων, ἅπερ εἰσὶ κατά γε Ἀριστοτέλην. τὸ δίκαιον. τὸ νόμιμον. τὸ συμφέρον. τὸ καλόν. τὸ ἡδύ. τὸ δυνατόν. τοιαῦτα γὰρ ἐπειδὰν δείξωμεν, ἐφ' ἃ προκαλοῦμεν, οὐ τὰ ἐναντία τούτοις, παρ' ὧν ἀποτρέπομεν, ῥᾷστα τοῦ σκοποῦ τετυχηκότες ἐσόμεθα. Ἔστι γὰρ ὡς εἰπεῖν ταῦτα, καὶ ἀμεταβλήτου ψυχῆς εἰς ἐπιείκειαν θέλγητρα, καὶ ἱκανὰ πρὸς πειθὼ παρορμήματα:

ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΥ.

Δίκαιον μὲν τοίνυν ἐστὶν (ὡς φησὶν Ἀριστοτέλης ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ ὥρισται) τὸ τῶν ἁπάντων ἢ γοῦν τῶν πλείστων ἔθος ἄγραφον διορίζον τὰ καλὰ καὶ αἰσχρά. τοιοῦτον δέ ἐστι τὸ γονέας τιμᾶν, φίλους εὖ ποιεῖν, τοῖς εὐεργέταις χάριν ἀποδιδόναι, καὶ ὅσα τούτοις παραπλήσια. ἐν φύσει γὰρ ταῦτα, καὶ οὐχ ὑπ' ἐγγράφων νόμων οἱ ἄνθρωποι φυλάττειν ἐπείγονται. Κατασκευάσομεν δὲ τὸ δίκαιον, ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ ὁμοίου, ἢ ἀπὸ τοῦ ἐναντίου καὶ ἐνδόξου. Καὶ ἀπὸ μὲν τοῦ προσώπου, οἷον, Θηβαίοις δίκαιον ἐλεεῖν, καὶ τὴν δέοντα πρότερον χεῖρα ὀρέγειν ἐπικουρίας. Ἕλληνες γὰρ καὶ ἡμῖν ὁμόφυλοι, φίλοι πρότερον καὶ

ἀσυ-

ἀφαιρεθέντες· ἀλλὰ καὶ ἐπιβουλευθέντες ὑπὸ τούτων. Ἀπὸ δὲ τοῦ παραδείγματος· ὅτι ἴσον ἐστὶ καὶ ἀξίαν τοῖς παισὶν, ὡς γονεῦσι τοῖς δικαστικοῖς τοσοῦτον ἀποδιδομένων. ὡς ἡγεῖ δίκαιον, ὥσπερ τὰ ἰδίας οὕτω καὶ τὰ φιλίας τὰ συνοικοῦντας καλῶς ... μεναμένου. Ἀπὸ δὲ τοῦ ὁμοίου· ὥσπερ δίκαιον νομίζομεν τοῖς γονεῦσι παῖδας, τὸν αὐτὸν τρόπον προσήκει μιμεῖσθαι τοὺς υἱοὺς τὰς τῶν πατέρων πράξεις. Ἐκ τοῦ ἐναντίου· ὥσπερ ἐν εἰρήνης καιρῷ ἡσυχίαν ἄγειν τοὺς στρατιώτας καὶ εἰς ὕστερον αὐτοὺς δίκαιον ἀπολαύσεσθαι, οὕτως ἐν καιρῷ πολέμου ἐνεργοὺς εἶναι καὶ ὅλως οὐκ ἀπέχεσθαι. Ἀπὸ τοῦ ἐνδόξου· οὐδεὶς τῶν ἀφ' οὗ γεγόνασιν ἀνθρώπων εὕρηται, ὃς δίκαιον οὐκ ἂν ὑπέρετο τοῖς εὐεργέταις χάριν ἀποδιδόναι. Εἰ δέ ποτε ἀναπαιδεύειν τὸ δίκαιον βουλοίμεθα, τοῖς ἐναντίοις τῶν εἰρημένων χρησόμεθα.

ΠΕΡΙ ΤΟΥ ΝΟΜΙΜΟΥ.

Ἐπειδὴ δὲ νόμος ἐστὶν ὁμολόγημα πόλεως κοινὸν διὰ γραμμάτων προστάττον, πῶς χρὴ πράττειν ἕκαστα τῷ φιλονείκῳ ἀρκεῖ· νομίζομεν ἂν οὖν πᾶν τὸ κατὰ νόμους προστεταγμένον. ὑπερβέβηκε δὲ τὸ δίκαιον τὸ νόμιμον, ἀλλ' ἐκεῖνο τοῖς πᾶσι κοινὸν ὄντως ἀπολαυθὲν τῆς φύσεως, τὸ δὲ ἴδιον πολ(ιτείας) ἢ πολιτείᾳ καὶ κατὰ δόξαν τῶν πολιτευομένων τὸ κῦρος ἔχει. Ἔστι δὲ τῶν αὐτόχθων ..., ἅτε δὲ καὶ ὅσα εἰς τάξιν· ... μόνας καὶ συνθήκας ἀνάγκαις διαχειρίσθαι. λαμβάνουσιν μὲν ... τοῦ νόμου ἐκλέγεται πρῶτον μὲν, εἰ ταῦθ' ὃ διαγορεύουσιν ὀρθῶς ἔχει καὶ προσηκόντως δόξομεν. εἶτα καὶ ἔνδοξον, καὶ κατὰ τὴν τῶν πολλῶν κρίσιν, ἢ γοῦν τῶν σοφωτέρων. καὶ πρόσεστι ἀπὸ τοῦ χρόνου καθ' ὃν γέγραπται, τῆς τε πολιτείας καὶ διαθέσεως τοῦ γράψαντος. Ἀπὸ μὲν τοῦ διαγορευομένου οὕτω συνάξομεν τὸν νόμον Δεικνύοντες ἐν τῇ πρὸς Λεπτίνην. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε, ὅτι ἐνταῦθα ἔνι καὶ ποῦ ἀξίοις ἔχειν τὰ δοθέντα. καὶ τὰ ἑξῆς·

Ἀπὸ

Ἀπὸ δὲ τῶν ἀδόξων ἐμποδίζεται παρ' αὐτῷ τούτῳ ὁ νόμος ἐν τῷ κατὰ Μειδίου. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦ νόμου τῆς φιλανθρωπίας, ὃς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ. τί οὖν πρὸς θεοῦ, καὶ τὰ λοιπά. οὕτω περιττὸν ὑπερφυές. Τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησιν ἀδιαλλακτοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς Βαρβάροις, οὐ δόξαντ' ἂν ἔχειν σπουδάζεσθαι παραβάσεις, καὶ τὰ ἑξῆς: Ἀπὸ δὲ τοῦ χρόνου. Οὐ γὰρ χθὲς οὐδὲ πρώην ὁ παρὼν οὗτος γέγραπται νόμος. ἀλλὰ μακροῦ καὶ πολυετοῦς παρόδου τοῦ χρόνου, καὶ παρὰ πολλῶν καὶ σοφωτάτων ἀνδρῶν τυγχάνει βεβαιωθείς. καὶ οὐκ ἄν τις τὰ νῦν οὕτως αὐτὸν μὴ καλῶς ἐγκαλέσαι: Ἀπὸ δὲ τῆς ποιότητος καὶ τῆς διανοίας τοῦ γράψαντος συνίστησιν ἐν τῷ κατὰ Τιμοκράτους. Εἰπέ μοι τί δικαιότατον πάντες ἂν ἀκούσαντες φήσαιτε, καὶ τί ἂν μάλιστα ἀποδέξασθε; καὶ τὰ λοιπά:

ΠΕΡΙ ΤΟΥ ΣΥΜΦΕΡΟΝΤΟΣ.

Τὸ μὲν συμφέρον ὁ Ἀριστοτέλης ἀρετῆς ὑπὸ τὸ ἀγαθὸν ἔταξεν. Ἔστι δὲ κυρίως συμφέρον τὸ ἀγαθοῦ τινος ποριστικόν. Τοῦτο δὲ τετραχῶς δυνατὸν γενέσθαι. ἢ διὰ τῆς φυλακῆς τῶν προϋπαρχόντων. ἢ διὰ τῆς προσπορίσεως τῶν μὴ προϋπαρχόντων ἀγαθῶν. ἢ γοῦν τῶν ἐναντίων ἐπὶ κωλυτικόν. καὶ τοῦτο διχῶς. ἢ διὰ τούτου ἐκκλίνομεν τὰ ἐπιτιθέμενα τῶν βλαβερῶν. ἢ ὅτι τὰ προσγενόμενα διαφεύγομεν: Κατασκευάζεται δὲ μάλιστα τὸ συμφέρον ἀπὸ τῶν ἐκβάσεων, ἐπειδὰν δέ που δείξωμεν τὸ ἐκβησόμενον ἡμῖν τι συνοῖσον, τὸ δὲ ἐναντίον τούτῳ ζημίαν ἡμῖν προξενοῦσαν ἐν τῷ τυχεῖν. ὥσπερ ὁ Ῥήτωρ ἐφιλοτεχνήσατο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. ἔνθα δείκνυσιν ὅλα γε εἰσὶ τὰ διάφορα, τὸν πόλεμον ἐκεῖ ἢ τῆς Ἀττικῆς ἢ Θρᾴκης συγκροτηθῆναι. Εἰ δὲ πρὸς τούτῳ καὶ τὸ ἡμῖν συνοῖσον, καὶ τοῖς ἐχθροῖς ἀσύμφορον καὶ ἐπιζήμιον δείξωμεν, μᾶλλον ἰσχύσομεν τοὺς ἀκροατὰς εἰς σπουδὴν παρελκύσαντες. τοιοῦτον δὲ ἐκεῖνο, ὥσπερ οἱ τῶν Κερκυραίων πρέσβεις κέ-

χρηνται

χρῆται παρὰ Θουκυδίδῃ. Καὶ καθόλου τὴν ἰσοταξίας ἀπο-νεώτερα καὶ τὰ ἑξῆς. Κατασκευάζεται δὲ παρὰ τούτῳ τὸ συμπλέκειν, ἀπὸ τοῦ χρόνου, εἰ δείξομεν οὐχ ἧττον ὄντα τὸν παρόντα, ἀλλὰ καὶ εἰς τοὐπίσω συμφέροντα τοῖς ἀκούουσι. καὶ περιουσία ἐκ παραδειγμάτων. οἷς μάλα πολλοῖς ἐντεύξεσθαι παρά τε Δημοσθένει, καὶ τοῖς λοιποῖς Ῥήτορσι:

ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΤΟΥ ΚΑΙ Ῥᾳδίου.

Ἐπεὶ δὲ ἕκαστος ἕνεκά τι ἐργάζεται, καὶ οὐδεὶς τοῖς ἀδυνάτοις ἐπιχειρήσειεν, εἰκότως εἰς Ῥήτορας καὶ ὁ περὶ δυνατοῦ καὶ ἀδυνάτου λόγος ἀνήκει. Δυνατὸν οὖν καὶ ῥᾴδιον κατασκευάσομεν τὸ προκείμενον, Πρῶτον μὲν ἐξ αὐτῆς τῆς τοῦ ζητουμένου φύσεως, εἴγε πως τι ἁλωτόν, καὶ πόνῳ μάλα βραχεῖ, καὶ δαπάνῃ, καὶ χρόνῳ ἀποδείξομεν. Εἶτα ἔκ τε τῆς ἡμετέρας ἰσχύος, καὶ τῆς τῶν ἀντιπαρατεταγμένων ἀσθενείας, ἰσχυροὺς δὲ ἡμᾶς αὐτοὺς δείξομεν, ἔκ τε τῆς φυλακῆς τῆς πόλεως, τῶν τε ἐξαγομένων καὶ εἰσαγομένων ἐν αὐτῇ. καὶ περιουσία ἐξ εὐπορίας χρημάτων, φίλων, συμμάχων, καὶ ἀνδρῶν τὰ πολεμικὰ μάλιστα ἐπισταμένων. κατὰ ταυτὸ καὶ ἐκ τῶν ἐναντίων. τὰ μὲν ἡμέτερα δηλαδὴ αἴροντες, τὰ δὲ τῶν ἐναντίων ἐλαττοῦντές τε καὶ κακίζοντες. σκεπτέον δὲ καὶ ὡς ἂν πρὸς ἀλλήλους ἔχωσιν, οἵ τε σύμμαχοι καὶ πολῖται. ἐκ γὰρ τῆς τούτων συμπνοίας τε καὶ ὁμοψυχίας τὸ δυνατὸν μάλιστα κατασκευάζεται τῆς πόλεως, ὡς καὶ τοὐναντίον ἐκ τῆς στάσεως καὶ διχονοίας τῶν τοιούτων. οἷόν τι ἐστὶ τὸ Δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. ἔνθα τὴν τοῦ Φιλίππου δύναμιν ὡς ἀκαταμάχητον δεδιότας τοὺς Ἀθηναίους, ὁ Ῥήτωρ ἀναθαρρύνει, καὶ πρὸς τὸν κατ᾽ ἐκείνου πόλεμον ἀνεγείρει. δειλὸν γὰρ καὶ καταχρηματίσας πρὸς μικρὸν τὸ ἐκείνου δυνατὸν, διέλυσεν. ἄπιστον μὲν ἐκεῖνον δεικνὺς τοῖς συμμάχοις, τοὺς δὲ τῶν πραγμάτων ἀφεστηκότας, ἀλλοιοῦ τὰς γνώμας καὶ

διαι-

ἐλλειπόντως διακειμένους, ἄξια λέγοντες διέξεισι περὶ Θετταλῶν. Παίονας δὲ καὶ Ἰλλυρίους, οἷς ἐκεῖνος τὰ μάλιστα ἐνεμβρύνετο, ἀλλὰ θηρία ζῆν ἔφη, καὶ εἴδους φέρειν τινὰ ἐκείνων ὁμοιότητα. ταῦτ' αὐτὸ καὶ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ, καὶ Θουκυδίδης ἐν ταῖς συλλογικαῖς δημηγορίαις κατεσκεύασεν :

ΠΕΡΙ ΤΟΥ ΚΑΛΟΥ.

Τὸ καλὸν ὅτι τὸ δι' αὑτὸ αἱρετὸν ὄν, ἐπαινετόν ἐστιν, ἢ ὅπερ ἂν ᾖ, ἢ ὅτι ἀγαθὸν, καὶ ὑμεῖς ἴσατε σαφέστερον ἐντυγχάνοντες τοῖς αὐτοῖς τοῦ Ἀριστοτέλους ῥήμασι. Συνίστησι δὲ τὸ καλὸν καὶ ἐξ αὐτῆς τῆς τοῦ ὑποκειμένου πράγματος φύσεως, καὶ ἀπὸ τῆς τῶν πολλῶν κρίσεως. ὅτι δηλαδὴ παρὰ πᾶσιν ἐπαινεῖται τὸ τοιοῦτον, ἢ γοῦν παρὰ τοῖς συνετωτέροις, καὶ τοῖς εἰδόσι βελτίοσι. καὶ ὅτι φιλεῖται, καὶ διὰ τιμῆς ἄγεται. καλὰ δὲ καὶ ὅσα ἑκάστῳ ἐν τῷ βίῳ προσήκουσιν, οἷαι εἰσὶν αἱ ἀρεταὶ, καὶ ὅσα εἰς ἐκείνας ἢ ὡς σημεῖα, ἢ ὡς ἔργα ἀνάγουσιν. εἰ οὖν τοιοῦτόν τι προτεθὲν διέξιμεν, ὑπεχόντως ἐλπίδα κατασκευάζοντες τὸ καλόν :

ΠΕΡΙ ἩΔΕΩΝ.

Ἡδία δὲ ὁ Ἀριστοτέλης ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ εἴρηκεν ἐκεῖνα, ὅσα χαρὰν ἀπεργάζεται. ἐν δὲ τῷ πρώτῳ τῷ πρὸς Θεοδέκτην ὑποθέμενος πρῶτον τὴν ἡδονὴν κίνησιν εἶναι τῆς ψυχῆς καὶ ἀθρόαν κατάστασιν καὶ αἰσθητὴν “εἰς τὴν ὑπάρχουσαν φύσιν, ὑπέταξε λέγων, Ἡδὺ εἶναι τὸ τῆς “αὐτῆς ἡδονῆς ποιητικὸν, ἢ τὸ ἐναντίον εἶναι λυπηρόν. Κατασκευάσεις δ' ἂν τὸ ἡδὺ, μάλιστα ἐκ τῆς τῶν ἡδονῶν ἀπολαύσεως. ὧν δύο εἰσὶ γένη. τὸ μὲν εἰς τὰς αἰσθήσεις ἀνῆκον. τὸ δὲ κατὰ διάνοιαν. ἐφ' διαγράψαις μάλιστα τῷ λόγῳ πρὸς τοὺς ἀκροατὰς, καὶ ἐναργεῖ παραστήσεις ἐκείνων τῇ φαντασίᾳ, συγκρίναις τε πρὸς ἄλληλα, καὶ ἐκ τῶν ἐναντίων τῶν λυπηρῶν δηλαδὴ ἐμποδίοις. Ἀκριβὴς δὲ ἔσται ὁ τοῦ ἡδέος εἰ-

πώσεις,

φασιν, εἴγε καὶ καλὸν αὐτὸ ὑποφαίνουσιν, δίκαιον δηλαδὴ καὶ κατὰ νόμον, καὶ παρ' ἐνδόξοις καλούμενον;

Εἴχετο ἂν ὑποχωροῦντας τὸ σύνταγμα τοῦτο ἡμῖν ἐνταῦθα, εἴγε κατὰ τὰ ταυτὰ τοῖς συμβουλεύουσι καὶ δικάζουσιν ἔσται. καὶ τοῖς ἐπιδεικνυμένοις αἵ τε πίστεις, καὶ αἱ προτάσεις. Ἐπεὶ δὲ ἀφωρισμένως τῶν ἄλλων γενῶν τοῦ πολιτικοῦ λόγου, τὸ ἐπιδεικτικὸν ἰδίαν ἔλαχε τὴν θεωρίαν. ἐκεῖνα μὲν γὰρ ἀμφισβητουμένας προτίθησι τὰς προτάσεις, καὶ ὑποδείξεσι τὰ πολλὰ καὶ παραδείγμασιν ἐμφιλοχωρεῖν. δι' ὧν ταύτας ποιδαπὰς ἀποφάζεται. Τὸ δὲ ἐπιδεικτικὸν ὁμολογουμένας μὲν λαμβάνει τὰς προτάσεις, διὰ δὲ τῆς αὐξήσεως, καὶ ἡ δι' ὑποδείξεων μέγεθος ταύταις καὶ κάλλος προστίθησι. διὸ δὴ οὐκ ἀπὸ σκοποῦ φήσαιμεν εἶναι, ὀλίγ' ἄττα περὶ αὐτοῦ ἰδιαζόντως διαλαβεῖν, καὶ ὅσα ἐν μόνῳ ἀνέκαθεν τῶν Ἀριστοτελικῶν ῥημάτων ἀνάπτυξιν. τῷ δὲ πλείονα περὶ τούτου εἰδέναι γλιχομένῳ, ἔστι ῥᾴδιος ἀναλέξασθαι, τοῖς τε τῷ Ἀφθονίῳ λεγομένοις, καὶ τοῖς περὶ ἐκείνων σχολαστικοῖς ἐντυχεῖν:

Τὸ μὲν οὖν ἐγκώμιον ἐπαίνου διαφέρειν τινὲς ἡγοῦνται, ἐν τῷ μεγέθει καὶ τῷ πλήθει. τὸν μὲν γὰρ ἔπαινον σύντομόν τινα καὶ ἁπλοῦν εἶναι φασι, καὶ μίαν ἀρετῆς μαρτυρίαν. τὸ δὲ ἐγκώμιον μέγεθός τε ἔχειν, καὶ ἐγκατασκευαῖς ἐκτεταμένον, πατρίδα τε καὶ γένος ἐπαινοῦν, παιδείαν, καὶ ἀναστροφήν, καὶ πράξεις, καὶ θάνατον πολλάκις συμπεριλαμβάνειν. Ὁ δὲ Ἀριστοτέλης ἕτερόν τι τὸν ἔπαινον, λόγον ἐμφανίζοντα μέγεθος ἀρετῆς ὁρίζεται. Τὸ δὲ ἐγκώμιον ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ ἔφη εἶναι προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησιν, καὶ μὴ προσόντων συνοικείωσιν. ὧν ἀναντίον ὁ ψόγος ἐστὶ ταπείνωσις. δικαιοῦσι γὰρ ὡς αὐτὸς ἐκεῖ φασί, τὸν μὲν ἔπαινον, τῶν ἀρετῶν. τὸ δὲ ἐγκώμιον, τῶν πράξεων. Δεῖ οὖν τὸν ἐγκωμιάζοντα πρὸ πάντων εἰδέναι, οἷός ἐστιν ὁ ἐγκωμιαζόμενος, τίνες αἱ προαιρέσεις ἐκείνου,

αἱ

αἱ λόγοι τε καὶ πράξεις, ποιοῖς τ' ἔτι καὶ προσῆλθον, καὶ ἄλλα ὅσα ἔξωθεν ἑκάστῳ ἡ τύχη ταμιεύεται. ἢ ἐξ ἱστορίας παραλαβεῖν, ἢ παρὰ τοῦ ἄλλου καταμαθεῖν:

Ἐκθέντας τοιγαροῦν ἐπὶ τῶν ἐγκωμίων τὸ προοίμιον τὸ μάλιστα κατὰ τὴν ἀρετὴν διαφέροντα τῶν ἐκείνου προαιρέσεων, ἢ λόγων, ἢ πράξεων, καθ' ὅσα ἐπενήνοχμεν, καὶ τεχνικώτερον περὶ τῶν λόγων ἀθρόοις ἐπεξεργάζοντες μεγαλοπρεπείας τε καὶ ὑπομνηματίζειν τὴν αὔξησιν. Λαμβάνονται δὲ αὗται κατά τε ποσόν, καὶ ποιόν. καὶ κατὰ μὲν τὸ ποσὸν πληθύνοντα αὐξήσομεν τὸ προτεθὲν, ἐπειδὰν πολλάκις τοῦτο δείξωμεν πεπραχότα τὸν ἐπαινούμενον. κατὰ δὲ τὸ ποιὸν, ἐπειδὰν οὕτως παρασκευάσωμεν τοῖς ἀκροαταῖς, ὡς ἐκεῖνον τὰ τοιαῦτα, ἢ προείλετο, ἢ εἶπεν, ἢ ἔπραξεν· ὅτι μόνος, ἢ πρῶτος τῶν ἄλλων, ἢ εἰς αὐτὸς ἔπραξεν, ἢ ὡς πάνυ ὀλίγοι. δεινοὶ δὲ πρὸς τὴν τοιαύτην αὔξησιν οἱ ἐκ τῶν σοφιστικῶν εἶναι. προσπορίζεται πρὸς τοῖς ἐγκωμίοις ἡ αὔξησις, ἔκ τε τῶν ἐναντίων, καὶ συγκρίσεων. τὰ δὲ ἔξω, ὅσα δηλαδὴ ἐκ τύχης, ἐγκωμίων μὲν καθ' ἑαυτὰ οὐ τυγχάνει. παραλαμβάνονται μέντοι τὰ πολλὰ εἰς πίστωσιν τῶν εἰρημένων, οἷάπερ καὶ Ἀριστοτέλους ἀ-ροτέρῳ ἀκηκόατε. Ταῦτα ὑμῖν καὶ ἐπὶ ψόγου (εἴ ποτε παρεμπέσοι προφάσεις) ἀποχρήσει. ἐκ γὰρ τῶν ἐναντίων τὸ ἐναντία θεωρητέα. ὁ μέντοι τῶν προστερημάτων κατὰ τὴν ἐναντίαν φράσειν τάξις, τὴν νεστόριον ἐκείνην παρ' Ὁμήρῳ μιμείσθω. τὰ μὲν γὰρ ὑπερέχοντα τῶν ἄλλων πρῶτα ἱστάσθω, καὶ τελευταῖα. ὅσα δὲ μεσοτεροῦντα, τὴν μέσην τετάχθω χώραν:

ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

Ὁ μὲν ἐπίλογος φησὶ, ὥσπερ ὕστερον ἐφ' ἑτέρῳ λόγῳ ἐνδηλοῖ. Ἔστι δ' ἀνακεφαλαίωσις τῶν εἰρημένων εἴτ' οὖν ἀπαρίθμησις σύντομος. Ἔργον δὲ αὐτοῦ, ἀναμιμνήσκειν τοὺς ἀκροατὰς ὀξυτέρως τε καὶ πεπυκνωμένως τὰ διὰ πολλῶν εἰρημένα,

ῥηθέντα, καὶ εἰς σύγκρισιν τούτους ἤδη ἀγαγεῖν. Ἀνάγεται γὰρ ὁ ἐπίλογος, ὥσπερ καὶ τὸ προοίμιον, ἐπὶ τὸ παθητικὸν τοῦ λόγου εἶδος. Πειρατέον οὖν ἐν ἐπιλόγοις τοὺς ἀκροατὰς διαθεῖναι πρὸς μὲν ἡμᾶς αὐτούς, εὔνους καὶ συμπαθεῖς· πρὸς δὲ τὸν ἀντίδικον, τὴν ἐναντίαν αὐτοῖς ἐμποιῆσαι διάθεσιν. μνήμονας προσέτι τῶν εἰρημένων καθιστάναι. ἃ καὶ αὐξήσομέν πως τοῖς τελικοῖς κεφαλαίοις. περὶ ὧν ἀνωτέρω ἐπεξελθόντες εἴρηται:

Τέλος καὶ τῷ θεῷ ἡμῶν χάρις.